20 Τὴν πασῶν τῶν ἐντολῶν σύνθεσιν συναρμολογουμένην,
the of-all the commandments composition fitted-together
καὶ συμβιβαζομένην ἐν πνεύματι, ἄνθρωπον εἶναι λέγουσι
and knit-together in spirit (a)-man to-be they-say
τέλειον, ἢ ἀτελῆ κατὰ τὴν προκοπὴν γινόμενον, καὶ τὰς
perfect or imperfect according-to the progress becoming and the
ἐντολάς, ὡς σῶμα· τὰς δ' ἀρετάς, ὡς ποιοτήτων ἕξεις,
commandments as body the and virtues as of-qualities habits
ὀστᾶ· τὴν δὲ χάριν, ὡς ψυχὴν ζῶσαν, καὶ κινουμένην,
bones the and grace as (a)-soul living and moving
καὶ ἐνεργοῦσαν ὡς σῶμα τὰς τῶν ἐντολῶν ἐνεργείας.
and working as (the)-body the of-the commandments workings
Ἀμέλεια γὰρ καὶ σπουδὴ πρὸς τὰς μεθηλικιώσεις Χριστοῦ,
negligence for and zeal toward the stages-of-growth of-Christ
νήπιον, ἢ τέλειον δείκνυσι, νῦν τε καὶ ἐν τῷ μέλλοντι.
(an)-infant or perfect shows now both and in the coming(-age)

21 Ὁ τὸ σῶμα τῶν ἐντολῶν αὐξάναι θέλων, τὸ λογικὸν καὶ
the(-one) the body of-the commandments to-increase wishing the rational and
ἄδολον γάλα τῆς μητρικῆς χάριτος ἐπιποθεῖν σπουδαζέτω·
pure milk of-the maternal grace to-long-for let-him-be-eager
ἐκεῖθεν γὰρ γαλουχοτροφεῖται πᾶς ὁ τὴν ἐν Χριστῷ
from-there for is-nursed every(-one) the(-one) the in Christ
ζητῶν, καὶ θέλων αὔξησιν αὐξηθῆναι. Γάλα μὲν πρὸς
seeking and wishing growth to-grow milk indeed for
αὔξησιν ἡ σοφία ἐκ τῶν αὐτῆς μαστῶν τὴν θέρμην δίδωσι·
growth the wisdom from the her breasts the warmth gives

μέλι δὲ τροφῆς τοῖς τελείοις, τὴν ἑαυτῆς εὐφροσύνην πρὸς
honey and of-food to-the perfect the her-own gladness for
κάθαρσιν· Μέλι, φησί, καὶ γάλα ὑπὸ τὴν γλῶσσάν
cleansing honey he-says and milk (are)-under the tongue
σου. Γάλα μὲν τὴν θρεπτικὴν καὶ αὐξητικήν, μέλι δὲ τὴν
your milk indeed the nourishing and increasing honey but the
καθαρτικὴν τοῦ πνεύματος δύναμιν ὁ Σολομὼν ἔφησεν. Ὁ δὲ
cleansing of-the spirit power — Solomon said the but
μέγας Ἀπόστολος τὴν διαφορὰν τῶν ἐνεργειῶν αἰνιττόμενος,
great Apostle the difference of-the workings binting
ἔλεγεν· «Ὡς νηπίους γάλα ὑμᾶς ἐπότισα, καὶ οὐ βρῶμα.»
said as infants (with)-milk you I-gave-to-drink and not food
Λόγους ἐντολῶν, ὁ χωρὶς ἐντολῶν ἐπιζητῶν, καὶ 22
(the)-reasons of-commandments the(-one) without commandments seeking and
διὰ μαθήσεως, ἢ ἀναγνώσεως ἐπιποθῶν εὑρεῖν ὅμοιός
through learning or reading longing to-find like
ἐστι τῷ σκιὰν ἀντὶ ἀληθείας φανταζομένῳ· οἱ
is to-the(-one) (a)-shadow instead-of truth imagining the
λόγοι γὰρ τῆς ἀληθείας ἐν τοῖς τῆς ἀληθείας μετόχοις
reasons for of-the truth in the of-the truth sharers
μετέχονται, οἱ δὲ τῆς ἀληθείας ἀμέτοχοι καὶ ἀμύητοι,
are-shared the(-ones) but of-the truth unsharing and uninitiated
λόγους ἐπιζητοῦντες, τοὺς ἐκ τῆς μωρανθείσης σοφίας
reasons seeking the(-ones) from the made-foolish wisdom
εὑρίσκουσι, οὓς καὶ ψυχικοὺς ἐκάλεσεν ὁ Ἀπόστολος,
find whom also soulish called the Apostle
πνεῦμα μὴ ἔχοντας, κἂν τῇ ἀληθείᾳ σεμνύνωνται.
(the)-spirit not having even-if in-the truth they-pride-themselves
Ὥσπερ ὁ αἰσθητὸς ὀφθαλμὸς εἰς τὸ γράμμα ἀφορᾷ, καὶ 23
as the sensible eye on the letter looks and
ἐκ τοῦ γράμματος λαμβάνει τὰ αἰσθητὰ νοήματα, οὕτως
from the letter takes the sensible notions thus

ὁ νοῦς ὅταν καθαρθῇ, καὶ εἰς τὸ ἀρχαῖον ἐπανέλθῃ
the mind when it-is-cleansed and to the ancient it-returns
ἀξίωμα, εἰς Θεὸν ὁρᾷ, καὶ ἐξ αὐτοῦ λαμβάνει τὰ θεῖα
dignity to God looks and from him takes the divine
νοήματα· καὶ ἀντὶ μὲν βίβλου ἔχει τὸ πνεῦμα, ἀντὶ δὲ
notions and instead-of indeed (a)-book has the spirit instead-of and
καλάμου, τὴν διάνοιαν καὶ τὴν γλῶσσαν· Ἡ γλῶσσά μου,
(a)-pen the thought and the tongue the tongue my
φησί, κάλαμος τὸ φῶς δέ, ἀντὶ μέλανος· ἐμβάπτων οὖν
he-says (is)-(a)-pen the light and instead-of ink dipping then
τὴν διάνοιαν ἐν τῷ φωτί, καὶ φῶς ἀποτελῶν, διαγράφει
the thought in the light and light rendering(-it) he-inscribes
τοὺς λόγους ἐν πνεύματι ἐν ταῖς τῶν ἀκουόντων καθαραῖς
the words in spirit on the of-the hearers pure
καρδίαις. Τότε γινώσκει τὸ εἰρημένον, πῶς ἔσονται
hearts then he-knows the(-thing) said how shall-be
οἱ πιστοὶ διδακτοὶ Θεῷ, καὶ πῶς διδάσκει Θεὸς ἄνθρωπον
the faithful taught by-God and how teaches God man
γνῶσιν, κατὰ τὴν προφητείαν, ἐν πνεύματι.
knowledge according-to the prophecy in spirit

24 Νόμον ἐντολῶν τὴν καρδιακῶς ἐνεργουμένην πίστιν
(the)-law of-commandments the in-the-heart worked faith
ἄμεσον, εἶναι νόμισον· δι᾽ αὐτῆς γὰρ πᾶσα ἐντολὴ
immediate to-be consider through it for every commandment
πηγάζει, καὶ ἐνεργεῖ τὸν τῶν ψυχῶν φωτισμόν, ὧν
springs and works the of-the souls enlightenment of-which
οἱ καρποὶ τῆς ἀληθοῦς καὶ ἐνεργουμένης πίστεώς εἰσιν,
the fruits of-the true and worked faith are
ἡ ἐγκράτεια, καὶ ἀγάπη, καὶ τέλος, ἡ θεοδώρητος
the self-control and love and (at-the)-end the God-given
ταπείνωσις, ἡ τῆς ἀγάπης ἀρχή, καὶ κραταίωμα.
humility the of-the love (the)-beginning and strengthening

Δόξα τῶν ὄντων ἀψευδής, ἡ ὁρατῶν καὶ ἀοράτων 25
(the)-glory of-the(-things) being unlying (is)-the of-visible and invisible(-things)
ἐστὶ γνῶσις ἀληθής· ὁρατῶν μέν, τῶν αἰσθητῶν, ἀοράτων
is knowledge true of-visible indeed the sensible of-invisible
δέ, τῶν νοητῶν, καὶ λογικῶν, καὶ νοερῶν, καὶ θείων.
and the intelligible and rational and intellectual and divine
Ὅρος ὀρθοδοξίας ἐστί, τὰ δύω τῆς πίστεως δόγματα 26
(the)-definition of-orthodoxy is the two of-the faith doctrines
ἐκ καθαρότητος ἰδεῖν, καὶ γνῶναι ἐξ αὐτοῦ, τὴν τριάδα,
from purity to-see and to-know from it the Trinity
λέγω, καὶ δυάδα· τὴν μὲν τριάδα, ἐν μονάδι ἀσυγχύτως,
I-mean and (the)-duality the indeed Trinity in unity without-confusion
καὶ ἀτμήτως θεωρεῖν, καὶ γινώσκειν· τὴν δὲ δυάδα τῶν
and indivisibly to-behold and to-know the and duality —
Χριστοῦ φύσεων, ἐν μιᾷ ὑποστάσει· τουτέστιν ἕνα Υἱὸν
of-Christ natures in one hypostasis that-is one Son
καὶ πρὸ σαρκώσεως, καὶ μετὰ τὴν σάρκωσιν ἐν δύω
both before incarnation and after the incarnation in two
φύσεσιν ὁμολογεῖν, καὶ εἰδέναι, ἐν δύω θελήσεσι θεϊκῆς
natures to-confess and to-know(-him) in two wills divine
τε καὶ ἀνθρωπίνης ἀσυγχύτως δοξαζόμενον.
both and human without-confusion glorified
Γέννησιν, καὶ ἀγεννησίαν, καὶ ἐκπόρευσιν, τὰς τρεῖς 27
begetting and unbegottenness and procession the three
ἀκινήτους καὶ ἀμεταβλήτους ἰδιότητας τῆς παναγίας Τριάδος
immovable and unchangeable properties of-the all-holy Trinity
δέον ὁμολογεῖν εὐσεβῶς· Πατρὸς μὲν ἀγεννήτου καὶ
(it-is)-needful to-confess piously of-(the)-Father indeed unbegotten and
ἀνάρχου, Υἱοῦ δὲ γεννητοῦ καὶ συνανάρχου, Πνεύματος
unoriginate of-(the)-Son and begotten and co-unoriginate of-(the)-Spirit

δὲ ἁγίου ἐκπορευτοῦ ἐκ τοῦ Πατρός, διὰ τοῦ Υἱοῦ
and holy proceeding from the Father through the Son
(καθώς φησιν ὁ Δαμασκηνός) καὶ συναϊδίου διδόμενον.
as says the Damascene and co-eternal given
28 Μόνη ἐν χάριτι πίστις ἤρκει πρὸς σωτηρίαν, διὰ τῶν
alone in grace faith sufficed for salvation through the
ἐντολῶν· ἐνεργουμένη τῷ πνεύματι, εἰ ἐφυλάξαμεν, καὶ μὴ
commandments worked by-the spirit if we-had-kept(-it) and not
τὴν νεκράν, καὶ ἀνενέργητον τῆς ζώσης καὶ ἐνεργουμένης
the dead and inactive than-the living and worked
ἐν Χριστῷ προτιμήσαντες. Ἀρκεῖ γὰρ τῷ πιστῷ ἡ
in Christ preferring suffices for for-the faithful(-one) the
μόρφωσις καὶ ζωὴ τῆς ἐν Χριστῷ ἐνεργουμένης πίστεως·
forming and life of-the in Christ worked faith
πίστιν γὰρ ἐν λόγῳ τὴν νεκρὰν καὶ ἀναίσθητον, ἡ ἄγνοια,
(a)-faith for in word the dead and senseless the ignorance
καὶ οὐ τὴν ἐν χάριτι πίστιν, τοῖς εὐσεβέσι νῦν ἐδίδαξεν.
and not the in grace faith to-the pious now has-taught
29 Ἁπλῆ μονὰς ἡ τριάς, ἐπειδὴ ἄποιος καὶ ἀσύνθετος,
(a)-simple unity (is)-the Trinity since without-quality and uncompounded
τριάς, ἐν μονάδι τρισυπόστατος γὰρ ὁ Θεός, ἀσύγχυτον
(a)-trinity in unity three-hypostatic for — (is)-God unconfused
ἔχων τὴν εἰς ἄλληλα περιχώρησιν ὁλικῶς.
having the into one-another interpenetration wholly
30 Τριαδικῶς ἐν παντὶ ὁ Θεὸς γινώσκεταί τε καὶ λέγεται,
in-trinitarian-wise in everything — God is-known both and is-spoken-of
ἀπερίγραπτος γάρ· πάντων γάρ ἐστι συνοχεύς, καὶ
uncircumscribed for of-all for is (the)-sustainer and
προνοητής, διὰ τοῦ Υἱοῦ, ἐν ἁγίῳ Πνεύματι· καὶ οὐκ
provider through the Son in (the)-holy Spirit and not

ἔστιν οὐδείς, ἐκτός, ἢ χωρὶς τῶν ἄλλων, λεγόμενος, καὶ
there-is anyone outside or apart-from the others spoken-of and
νοούμενος ὅπου δ' ἂν ὀνομάζηται.
conceived wherever — — be-be-named

Ὥσπερ ἐν ἀνθρώπῳ νοῦς, καὶ λόγος, καὶ πνεῦμα, καὶ 31
as in man mind and word and spirit and
οὔτε νοῦς χωρὶς λόγου, οὔτε λόγος ἄνευ πνεύματος, καὶ
neither mind without word nor word without spirit and
ἐν ἀλλήλοις ὄντα, καὶ καθ' ἑαυτά· νοῦς γὰρ διὰ τοῦ
in one-another being and by themselves (the)-mind for through the
λόγου λαλεῖ, καὶ λόγος διὰ τοῦ πνεύματος φανεροῦται·
word speaks and (the)-word through the spirit is-made-manifest
κατὰ τὸ ὑπόδειγμα τοῦτο, ἀμυδρὰν εἰκόνα φέρει τῆς
according-to the pattern this (a)-faint image bears of-the
ἀνωνύμου καὶ ἀρχετύπου Τριάδος ὁ ἄνθρωπος, τὸ
nameless and archetypal Trinity the man the(-thing)
κατ' εἰκόνα τέως καὶ περὶ τούτου δηλῶν.
according-to (the)-image so-far also about this showing

Νοῦς μὲν γάρ, ὁ Πατήρ· λόγος δέ, ὁ Υἱός· Πνεῦμα 32
mind indeed for (is)-the Father word and the Son Spirit
δὲ ἅγιον, ἀληθῶς τὸ πνεῦμα οἱ θεοφόροι Πατέρες
and holy truly the spirit the God-bearing Fathers
παραδειγματικῶς διδάσκουσι, τὴν ὑπερούσιον ἁγίαν, καὶ
by-way-of-example teach the superessential holy and
ὑπερφυῆ δογματίζοντες Τριάδα, τὸν ἕνα Θεὸν ἐν τρισὶν
supernatural setting-forth Trinity the one God in three
ὑποστάσεσιν, ἡμῖν πίστιν ἀληθινήν, καὶ ἄγκυραν ἐλπίδος
hypostases to-us faith true and (an)-anchor of-hope
καταλιπόντες. Τὸ γὰρ γινώσκειν ἕνα Θεόν, κατὰ τὴν
having-left the for to-know one God according-to the
Γραφήν, ῥίζα ἀθανασίας, καὶ εἰδέναι τὸ κράτος τῆς
Scripture (is)-(the)-root of-immortality and to-know the might of-the

τρισυποστάτου μονάδος, ὁλόκληρος δικαιοσύνη· ἢ πάλιν,
three-hypostatic unity (is)-complete righteousness or again
δέον τὸ εὐαγγελικῶς εἰρημένον οὕτω νοεῖν·
(it-is)-needful the(-thing) evangelically said thus to-understand
Αὕτη ἐστὶν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον
this is the eternal life that they-may-know you the only
ἀληθινὸν Θεὸν ἐν τρισὶν ὑποστάσεσι, καὶ ὃν ἀπέστειλας
true God in three hypostases and whom you-sent
Ἰησοῦν Χριστὸν ἐν δυσὶ φύσεσι καὶ θελήσεσιν.
Jesus Christ in two natures and wills

33 Αἱ κολάσεις διάφοροί εἰσιν, ὥσπερ καὶ αἱ τῶν ἀγαθῶν
the punishments various are as also the of-the good(-things)
ἀμοιβαί· ὑπὸ τὸν ᾅδην δέ εἰσι, κατὰ τὴν Γραφὴν τὴν
rewards under the Hades and they-are according-to the Scripture the(-one)
φάσκουσαν· Εἰς γῆν σκοτεινὴν καὶ ζοφεράν, εἰς γῆν
declaring into (a)-land dark and gloomy into (a)-land
σκότους αἰωνίου, ἔνθα ἁμαρτωλοὶ καὶ κατοικοῦσι πρὸ τῆς
of-darkness eternal where sinners also dwell before the
κρίσεως, καὶ διὰ τῆς ἀποφάσεως εἰς αὐτὴν ἀποστρέφονται.
judgment and through the sentence into it are-turned-back
Τὸ γάρ, Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν
the(-saying) for let-be-turned-back the sinners into the
ᾅδην, καί, Θάνατος ποιμανεῖ αὐτούς, τί ἄλλο ἐστίν, εἰ
Hades and death shall-shepherd them what else is(-it) if
μὴ ἡ τελευταία ἀπόφασις καὶ καταδίκη αἰώνιος;
not the final sentence and condemnation eternal

34 Πῦρ, καὶ σκότος, καὶ σκώληξ, καὶ τάρταρός ἐστιν ἡ γενικὴ
fire and darkness and worm and Tartarus is the general
ἡδυπάθεια, καὶ ἡ καθολικὴ τοῦ σκότους ἄγνοια, καὶ ὁ
sensuality and the universal of-the darkness ignorance and the
ἐν πᾶσι γαργαλισμὸς τοῦ στρήνους, καὶ ὁ τρόμος, καὶ ὁ
in all tickling of-the wantonness and the trembling and the

βρῶμος ὁ δυσώδης τῆς ἁμαρτίας, οἵτινες ὡς ἀῤῥαβῶνες καὶ
stench the foul of-the sin which as pledges and
ἀπαρχαὶ τῶν κολάσεων, ἤδη ἀπ' ἐντεῦθεν ἐν ταῖς ψυχαῖς
firstfruits of-the punishments already from here in the souls
τῶν ἁμαρτωλῶν ἐνεργούμεναι, διὰ τῆς ἕξεως φαίνονται.
of-the sinners worked through the habit appear
Ἕξεις αἱ τῶν παθῶν ἀῤῥαβῶνές εἰσι τῶν κολάσεων, 35
(the)-habits the of-the passions pledges are of-the punishments
ὥσπερ καὶ τῆς βασιλείας τῶν ἀρετῶν αἱ ἐνέργειαι.
as also of-the kingdom of-the virtues the workings
Δεῖ δὲ νοεῖν καὶ ἀποκαλεῖν τὰς μὲν ἐντολάς,
(one)-must and to-understand and to-call the indeed commandments
ἐνεργείας, τὰς δὲ ἀρετάς, ἕξεις, ὥσπερ καὶ τὰς κακίας
workings the and virtues habits as also the vices
κατὰ συνέχειαν ἕξεις λέγουσιν.
by continuity habits they-call
Ἴσαι τῶν ἀμοιβῶν αἱ ἀντιδόσεις, κἂν παρὰ πολλοῖς 36
equal of-the rewards (are)-the requitals even-if among many
ἄνισοι φαίνονται· τοῖς μὲν γὰρ τὴν αἰώνιον ζωήν,
unequal they-appear to-some indeed for the eternal life
τοῖς δὲ τὴν αἰώνιον κόλασιν ἡ θεία δικαιοσύνη
to-others and the eternal punishment the divine justice
χαρίζεται· ἀμφότεροι δὲ τὸν νῦν αἰῶνα καλῶς ἢ κακῶς
grants both and the present age well or badly
διαπεράσαντες, κατὰ τὰ ἔργα τὰς ἀμοιβὰς ἕξουσι· τὸ
having-passed-through according-to the works the rewards will-have the
δὲ ποσόν, ἢ ποιὸν τῆς μετοχῆς, κατὰ τὴν τῶν παθῶν
and quantity or quality of-the participation according-to the of-the passions
ἢ ἀρετῶν ἕξιν καὶ ἐνέργειαν, ἀπολαύουσι.
or virtues habit and working they-enjoy

37 Λίμναι πυρός εἰσιν αἱ ἡδυπαθοῦσαι ψυχαί, ἐν αἷς καθάπερ
lakes of-fire are the pleasure-loving souls in which like
βόρβορος ὄζων ἡ ὀσμὴ τῶν παθῶν, σκώληκα τρέφει
mire stinking the smell of-the passions (the)-worm nourishes
ἀκολασίας ἀκοίμητον, τὴν ὀρεκτικὴν τῆς σαρκὸς ἀκρασίαν,
of-licentiousness sleepless the appetitive of-the flesh incontinence
καὶ ὄφεις, καὶ βατράχους, καὶ βδέλλας ἐπιθυμιῶν πονηρῶν,
and snakes and frogs and leeches of-desires evil
τοὺς ἐναγεῖς καὶ ἰοβόλους λογισμούς τε καὶ δαίμονας· ἡ
the accursed and venomous thoughts both and demons the
τοιαύτη κατάστασις ἀπ᾽ ἐντεῦθεν εἴληφε τὸν ἀῤῥαβῶνα
such state from here has-received the pledge
τῆς ἐκεῖσε κολάσεως.
of-the there punishment

38 Ὥσπερ τῶν κολάσεων αἱ ἀπαρχαὶ ἐν ταῖς ψυχαῖς τῶν
as of-the punishments the firstfruits in the souls of-the
ἁμαρτωλῶν ἐγκεκρυμμέναι εἰσίν, οὕτω καὶ τῶν ἀγαθῶν οἱ
sinners hidden are thus also of-the good(-things) the
ἀῤῥαβῶνες εἰς τὰς καρδίας τῶν δικαίων ἐνεργοῦσι διὰ τοῦ
pledges in the hearts of-the righteous work through the
πνεύματος, καὶ μετέχονται· βασιλεία γὰρ οὐρανῶν ἐστιν ἡ
spirit and are-shared kingdom for of-heavens is the
ἐνάρετος ἀναστροφή, ὥσπερ ἡ κόλασις, ἡ τῶν παθῶν ἕξις.
virtuous conduct as the punishment the of-the passions habit

39 Νὺξ ἐρχομένη ἐστί, κατὰ τὸν λόγον τοῦ Κυρίου,
night coming is according-to the word of-the Lord
ἡ παντελὴς ἀνενεργησία τοῦ μέλλοντος σκότους· ἢ
the complete inactivity of-the coming darkness or
καθ᾽ ἕτερον τρόπον, ὁ Ἀντίχριστος νύξ, καὶ σκότος,
by another way — Antichrist night and darkness
καὶ ὢν καὶ καλούμενος· ἢ πάλιν κατὰ τὸν ἠθικὸν
both being and called or again according-to the moral

λόγον, ἡ καθ' ἑκάστην ἀμέλεια, ἣ καθάπερ σκοτομήνη
sense the by each(-day) negligence which like (a)-moonless-night
τὴν ψυχὴν ἀπονεκροῖ ἐν τῷ τῆς ἀναισθησίας ὕπνῳ.
the soul deadens in the of-the insensibility sleep
Ὥσπερ γὰρ ἡ νὺξ ὑπνῶσαι πάντας ποιεῖ, καὶ εἰκών
as for the night to-sleep all makes and (an)-image
ἐστι θανάτου κατὰ τὴν νέκρωσιν, οὕτως ἡ νὺξ τοῦ
is of-death according-to the deadening thus the night of-the
μέλλοντος σκότους νεκροὺς καὶ ἀναισθήτους, τῇ μέθῃ
coming darkness dead and insensible by-the drunkenness
τῶν πόνων, τοὺς ἁμαρτωλοὺς ἀπεργάζεται.
of-the pains the sinners renders

VII · Gregory of Sinai, Chapters in Acrostic, 40–78

The judgment of this world is unbelief; nature must be kept or cleansed to be one body and spirit in Christ. The kingdom is a tent with two veils, with many mansions and degrees of glory, and the saints will speak the inner word among themselves. Gregory defines amazement, ecstasy, and the two loves, then turns to the thoughts: the simple memory broken by the transgression and healed by prayer, the chain from thoughts to imaginations, passions, and demons, the five places in the soul where each arises, the shapes the demons of each passion take waking and in sleep, and the division of the passions of body, desire, anger, reason, and mind.

Κρίσις ἐστὶ τοῦ κόσμου τούτου, κατὰ τὸν εὐαγγελικὸν 40
(the)-judgment is of-the world this according-to the evangelic
λόγον, ἡ ἀπιστία τῶν ἀσεβῶν, κατὰ τό, «Ὁ δὲ μὴ
word the unbelief of-the impious according-to the(-saying) the(-one) but not
πιστεύων, ἤδη κέκριται,» καὶ αἱ κριτικαὶ τῆς προνοίας πρὸς
believing already has-been-judged and the judging of-the providence toward
συστολήν, ἢ ἐπιστροφὴν ἐπιφοραί, καὶ αἱ τῶν προθέσεων
restraint or conversion visitations and the of-the purposes

ἐν ἀγαθοῖς, ἢ κακοῖς ῥοπαί, κατὰ τὴν ἐνέργειαν, κατὰ
in good(-things) or evil inclinations according-to the working according-to
τό, Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας· πρὸς
the(-saying) were-estranged the sinners from (the)-womb toward
γὰρ ἀπιστίαν, καὶ παιδείαν, καὶ πρᾶξιν, ἡ δικαία τοῦ Θεοῦ
for unbelief and discipline and practice the just — of-God
τότε κρίσις ἐμφαίνεται· τοὺς μὲν τιμωροῦσα, τοὺς δὲ
then judgment is-shown the(-ones) indeed punishing the(-ones) and
ἐλεοῦσα, τοῖς δὲ στεφάνους, ἢ κόλασιν διδοῦσα· οἱ
pitying to-the(-ones) and crowns or punishment giving the(-ones)
μὲν γὰρ πρῶτοι, εἰσὶν ἀσεβεῖς διόλου· οἱ δὲ δεύτεροι,
indeed for first are impious throughout the(-ones) and second
πιστοὶ μέν, ἀμελεῖς δέ· διὰ τοῦτο καὶ φιλανθρώπως
faithful indeed negligent but because-of this also humanely
παιδεύονται· οἱ δὲ τέλειοι ἢ ἐν ἀρεταῖς, ἢ ἐν
are-disciplined the(-ones) and perfect either in virtues or in
κακίαις πτωμάτων γενόμενοι, τὰς ἀμοιβὰς ἕξουσιν.
vices of-falls having-become the rewards will-have

41 Ἄχραντος εἰ μὴ φυλαχθῇ, ἢ καθαρθῇ, ὡς πέφυκεν, ἡ
undefiled unless — it-be-kept or be-cleansed as is-its-nature the
φύσις διὰ τοῦ πνεύματος, εἰς ἓν σῶμα καὶ πνεῦμα ἐν
nature through the spirit into one body and spirit in
Χριστῷ νῦν τε καὶ εἰς τὴν ἁρμονίαν τὴν μέλλουσαν,
Christ now both and into the harmony the coming
ἀδύνατον γενέσθαι· ῥάκος γὰρ παλαιότητος παθῶν, εἰς
(is)-impossible to-become (a)-rag for of-oldness of-passions onto
καινὸν χιτῶνα τῆς χάριτος πρὸς συμπλήρωσιν, ἡ περιεκτικὴ
(a)-new tunic of-the grace for completion the comprehensive
καὶ ἑνωτικὴ τοῦ πνεύματος δύναμις συῤῥάπτειν οὐ πέφυκεν.
and unifying of-the spirit power to-sew not is-wont

Ἰσοτιμίαν πρὸς τὴν ἐν Χριστῷ μόρφωσιν ἕξει ὁ τὴν 42
equal-honor with the in Christ forming will-have the(-one) the
καινότητα τοῦ πνεύματος λαβὼν δωρεάν, καὶ φυλάξας,
newness of-the spirit having-received freely and having-kept(-it)
τὴν ὑπερφυᾶ θέωσιν τότε πάσχων ἀῤῥήτως· εἷς γὰρ ἐν
the supernatural deification then experiencing ineffably one for in
Χριστῷ, ἢ Χριστοῦ μέλος οὐκ ἔσται, μὴ τῆς χάριτος
Christ or of-Christ (a)-member not he-will-be not of-the grace
μέτοχος ἀπ' ἐντεῦθεν γενόμενος, τὴν μόρφωσιν τῆς ἀληθείας
(a)-sharer from here having-become the forming of-the truth
καὶ τῆς γνώσεως, κατὰ τὸν Ἀπόστολον, ἔχων ἐν ἑαυτῷ.
and of-the knowledge according-to the Apostle having in himself
Ὅμοιον ἡ βασιλεία τῶν οὐρανῶν σκηνῇ θεοτεύκτῳ, 43
is-like the kingdom of-the heavens to-(a)-tent God-made
κατὰ τὴν Μωσαϊκήν, ἐν δυσὶ καταπετάσμασι τοῦ
according-to — Mosaic(-one) in two veils of-the
μέλλοντος αἰῶνος ἔχουσα, καὶ εἰς μὲν τὴν πρώτην
coming age having and into indeed the first
σκηνὴν πάντες, ὅσοι ἱερεῖς χάριτος εἰσελεύσονται, εἰς
tent all as-many-as (are)-priests of-grace will-enter into
δὲ τὴν δευτέραν, ὡς νοητήν, μόνοι ὅσοι ἀπ' ἐντεῦθεν
and the second as intelligible only as-many-as from here
ἐν τῷ τῆς θεολογίας γνόφῳ ἱεραρχικῶς ἐν τελειότητι
in the of-the theology darkness hierarchically in perfection
τριαδικῶς λειτουργήσαντες, τὸν Ἰησοῦν τελετάρχην καὶ
in-trinitarian-wise having-served — Jesus (as)-initiator and
ἱεράρχην πρῶτον πρὸς τὴν Τριάδα ἔχοντες, ἐν τῇ σκηνῇ,
hierarch first toward the Trinity having in the tent
ᾗ ἐπήξατο, εἰσερχόμενοι, καὶ ἐμφανέστερον τὰς αὐτοῦ
which he-pitched entering and more-manifestly the his
μαρμαρυγὰς ἐλλαμπόμενοι.
flashings being-illumined

44 Πολλὰς μονὰς ὁ Σωτὴρ ἔφησε τὰς διαφόρους ἀναβάσεις,
many mansions the Savior called the various ascents
καὶ προκοπὰς τῆς ἐκεῖσε καταστάσεως· μιᾶς μὲν οὔσης
and advances of-the there state one indeed being
τῆς βασιλείας, πολλὰς δὲ ἔνδον διαφορὰς ὀχούσης· ὡς εἶναι
the kingdom many but within differences bearing so-as to-be
οὐρανίους τε καὶ γηΐνους, κατά τε τὴν ἀρετήν, καὶ τὴν
heavenly both and earthly according-to both the virtue and the
γνῶσιν, κατά τε τὸ ποσὸν τῆς θεώσεως ἔχοντας. Ἄλλη
knowledge according-to both the quantity of-the deification having another
γὰρ δόξα ἡλίου, καὶ ἄλλη σελήνης, καὶ ἄλλη ἀστέρων,
for (is)-(the)-glory of-(the)-sun and another of-(the)-moon and another of-stars
καὶ ἀστὴρ ἀστέρος διαφέρει ἐν δόξῃ, καθώς φησιν ὁ
and star from-star differs in glory as says the
Ἀπόστολος, εἰ καὶ πάντες ἐν ἑνὶ θείῳ στερεώματι λάμπουσιν.
Apostle if even all in one divine firmament shine
45 Ἀγγέλοις ὁμοδίαιτος γίνεται βραχύ τι, καὶ ἀσώματος,
with-angels sharing-life becomes (a)-little somewhat and bodiless
ὡς ἄφθαρτος ὁ τὸν μὲν νοῦν διὰ δακρύων καθάρας,
as incorruptible the(-one) the indeed mind through tears having-cleansed
τὴν δὲ ψυχήν, ἀναστήσας ἐντεῦθεν τῷ πνεύματι, τὴν δὲ
the and soul having-raised from-here by-the spirit the and
σάρκα τῷ λόγῳ φωτοειδές τε καὶ πύρινον ἄγαλμα θείας
flesh by-the word light-formed both and fiery (a)-statue of-divine
ὡραιότητος ποιησάμενος, τὸν φύσει πήλινον ἀνδριάντα
beauty having-made the by-nature clay image
ἑαυτοῦ· εἴπερ ἀφθαρσία ἐστὶ σωμάτων, χυμῶν ἔκλειψις
his-own if-indeed incorruption is of-bodies of-humors (the)-failing
καὶ παχυτήτων.
and of-thicknesses

Γήϊνον ἔσται τὸ σῶμα τῆς ἀφθαρσίας, χωρὶς χυμῶν καὶ 46
earthly will-be the body of-the incorruption without humors and
παχύτητος, μεταποιούμενον ἀῤῥήτως ἀπὸ τοῦ ψυχικοῦ εἰς
thickness changed ineffably from the soulish into
σῶμα πνευματικόν, ὡς εἶναι καὶ χοϊκόν, καὶ οὐράνιον τῇ
body spiritual so-as to-be both of-dust and heavenly by-the
τῆς θεοειδίας λεπτότητι· οἷον γὰρ ἐπλάσθη ἐξ ἀρχῆς,
of-the godlikeness fineness such for it-was-fashioned from (the)-beginning
τοιοῦτον καὶ ἀναστήσεται, ἵνα ᾖ σύμμορφον τῆς εἰκόνος
such also it-will-rise that it-be conformed to-the image
τοῦ υἱοῦ τοῦ ἀνθρώπου, κατὰ τὴν ὁλόκληρον τῆς
of-the son of-the man according-to the complete of-the
θεώσεως μέθεξιν.
deification participation

Γῆ πραέων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν, ἢ ἡ 47
(the)-land of-(the)-meek is the kingdom of-the heavens or the
θεανδρικὴ τοῦ υἱοῦ ἕξις, εἰς ἣν βεβήκαμεν, ἢ ἐπιβαίνομεν,
divine-human of-the son habit into which we-have-gone or are-going
τὴν ἐν χάριτι γέννησιν τῆς υἱοθεσίας, καὶ τὴν διὰ τῆς
the in grace birth of-the adoption and the through the
ἀναστάσεως καινότητα εἰληφότες· ἢ πάλιν, γῆ ἁγία ἐστὶν
resurrection newness having-received or again (a)-land holy is
ἡ θεωθεῖσα φύσις, ἢ τυχὸν καὶ καθαρθεῖσα γῆ αὕτη, πρὸς
the deified nature or perhaps also cleansed land this toward
γεηροὺς κατ' ἀξίαν τοιούτους· ἢ κατ' ἄλλην ἐπίνοιαν·
earthy according-to worth such(-men) or by another conception
γῆ κατακληρονομουμένη ἐστὶ τοῖς ὄντως ἁγίοις ἡ
(the)-land inherited is for-the truly holy(-ones) the
ἀκύμαντος τῆς ὑπὲρ νοῦν εἰρήνης θεία γαλήνη, εἰς ἣν
waveless of-the beyond mind peace divine calm into which

ἡ γενεὰ τῶν εὐθέων κατῳκισθήσεται, μηδενὸς τῶν
the generation of-the upright shall-be-settled nothing of-the(-things)
ἐν τοῖς οὖσι περιβομβοῦντος, ἢ σαίνοντος αὐτούς.
in the(-things) being buzzing-round or fawning-on them

48 Ἐπαγγελίας γῆ ἐστιν, ἡ ἀπάθεια, καθ' ἣν ἀναβλύζει
of-promise (the)-land is the dispassion in which gushes-forth
μέλι καὶ γάλα, ἡ εὐφροσύνη τοῦ πνεύματος.
honey and milk the gladness of-the spirit

49 Λόγον οἱ ἅγιοι ἐν ἀλλήλοις ἐν τῷ μέλλοντι φθέγγονται
(a)-word the saints among one-another in the coming(-age) utter
μυστικῶς τὸν ἐνδιάθετον, ἐν ἁγίῳ Πνεύματι ἐκφωνούμενον.
mystically the inner(-word) in (the)-holy Spirit uttered

50 Ἐὰν μὴ γνῶμεν οἵους ἡμᾶς ἐποίησεν ὁ Θεός, οὐκ
unless — we-know of-what-sort us made — God not
ἐπιγνωσόμεθα οἵους ἐποίησεν ἡ ἁμαρτία.
we-shall-recognize of-what-sort made(-us) the sin

51 Ἴσοι κατὰ τὴν ἡλικίαν εἰσὶν ἐν πνεύματι, ὅσοι τὸ
equal in the stature are in spirit as-many-as the
πλήρωμα τῆς τοῦ Χριστοῦ τελειότητος ἀπ' ἐντεῦθεν
fullness of-the — of-Christ perfection from here
εἰλήφασιν.
have-received

52 Ὧν οἱ πόνοι, τούτων αἱ ἀμοιβαί· τὸ ποσὸν δέ,
whose (are)-the labors theirs (are)-the rewards the quantity but
ἢ τὸ ποιόν, τουτέστι τὸ μέτρον ὁποῖόν ἐστιν, ἡ τάξις,
or the quality that-is the measure of-what-sort is the rank
καὶ ἡ κατάστασις ἐκεῖσε διὰ τῆς μετοχῆς δείκνυσι.
and the state there through the participation shows

Νόες, τουτέστιν ἰσάγγελοι, φησίν, ἔσονται οἱ υἱοὶ τῆς 53
minds that-is equal-to-angels he-says will-be the sons of-the
ἀναστάσεως τοῦ Χριστοῦ, τῇ ἀφθαρσίᾳ καὶ θεώσει οἱ
resurrection — of-Christ by-the incorruption and deification the
ἅγιοι.
saints

Ἐν τῷ μέλλοντι οἱ ἄγγελοι καὶ οἱ ἅγιοι, φασί, προκόπτοντες 54
in the coming(-age) the angels and the saints they-say advancing
ἐν τῇ τῶν χαρισμάτων προσθήκῃ οὐδέποτε λήξουσιν, ἢ
in the of-the gifts addition never will-cease or
ἐνδώσουσι, τῶν ἀγαθῶν ἐφετῶς ἔχοντες· ὕφεσιν γάρ, ἢ
will-relax of-the good(-things) longingly having (a)-slackening for or
μείωσιν ἀπὸ τῆς ἀρετῆς ἐπὶ κακίαν ἐκεῖνος οὐκ ἔχει ὁ αἰών.
diminution from the virtue toward vice that not has the age

Τέλειον ἄνδρα νόμισον εἶναι νῦν, τὸν τὴν ὁμοίωσιν τῶν τοῦ 55
(a)-perfect man consider to-be now the(-one) the likeness of-the —
Χριστοῦ μεθηλικιώσεων εἰληφότα, ὡς ἐν ἀῤῥαβῶνι, τὸν
of-Christ stages-of-growth having-received as in (a)-pledge the(-one)
δὲ ἐν τῷ μέλλοντι τέλειον δείκνυσιν ἡ τῆς θεώσεως δύναμις.
and in the coming(-age) perfect shows the of-the deification power

Ἴσην ἔχει πρὸς τὸ ὁμοειδὲς καὶ τὴν ἀξίαν τὴν θέωσιν 56
equal has toward the of-like-form also the worth the deification
ἐν τῷ μέλλοντι, ὁ τὴν ἀρετὴν ἐντεῦθεν πρὸς τὰς
in the coming(-age) the(-one) the virtue from-here toward the
μεθηλικιώσεις τοῦ πνεύματος τέλειος.
stages-of-growth of-the spirit perfect(-in)

Δόξαν ἀληθῆ τὴν γνῶσιν, ἢ τὴν θεωρίαν τοῦ πνεύματος 57
belief true the knowledge or the contemplation of-the spirit
λέγουσιν εἶναι, ἢ καὶ τὴν τῶν δογμάτων ἀκριβῆ διάγνωσιν,
they-say to-be or also the of-the doctrines exact discernment
πίστεως ἀληθινῆς ἐπίγνωσιν.
of-faith true (the)-recognition

58 Ἔκπληξίς ἐστιν πρὸς τὰ ἐπεγνωσμένα τε καὶ ἡνωμένα
amazement is toward the(-things) recognized both and united
τῆς μεγαλοπρεποῦς δόξης τῶν τῆς ψυχῆς δυνάμεων ὁλικὴ
of-the magnificent glory of-the of-the soul powers (a)-whole
ἔπαρσις· ἢ πάλιν, ἔκπληξίς ἐστιν ἡ καθαρὰ καὶ ὁλόκληρος
uplifting or again amazement is the pure and complete
πρὸς τὴν ἐν φωτὶ ἄπειρον δύναμιν ἀνάτασις. Ἔκστασις δὲ
toward the in light infinite power stretching-upward ecstasy and
οὐ μόνον τῶν τῆς ψυχῆς δυνάμεων πρὸς οὐρανὸν ἁρπαγή,
not only of-the of-the soul powers toward heaven (a)-rapture
ἀλλὰ καὶ αὐτῆς τῆς αἰσθήσεως ὁλικῶς ἔκστασις· ἔρως δὲ ὁ
but also of-the-very the sensation wholly (a)-departure love and the
διττός, ἡ τῆς ἐφέσεως νικητικὴ μέθη τοῦ πνεύματος.
twofold (is)-the of-the longing victorious drunkenness of-the spirit

59 Κυρίως δύω εἰσὶν ἐν πνεύματι ἐκστατικοὶ ἔρωτες, ὁ
properly two are in spirit ecstatic loves the(-one)
ἐγκάρδιος, καὶ ὁ ἐκστατικός. Ὁ μὲν γὰρ τῶν
in-the-heart and the(-one) ecstatic the(-one) indeed for of-the(-ones)
ἔτι φωτιζομένων ἐστίν, ὁ δέ, τῶν ἐν τῇ ἀγάπῃ
still being-illumined is the(-other) and of-the(-ones) in the love
τελειωθέντων· ἀμφότεροι δὲ τὸν ἐνεργούμενον νοῦν, τῆς
perfected both and the worked mind from-the
αἰσθήσεως ἐκβάλλουσιν· εἴπερ ἔρως θεῖός ἐστι, μέθη
sensation cast-out if-indeed love divine is (a)-drunkenness
πρὸς τὸ κρεῖττον τῶν κατὰ φύσιν φρενῶν, τοῦ πνεύματος,
toward the better of-the according-to nature wits of-the spirit
δι' ἧς καὶ ἡ αἴσθησις ἀφαιρεῖται τῶν σχέσεων.
through which also the sensation is-taken-away from-the attachments

60 Ἀρχὴ τῶν λογισμῶν, καὶ αἰτία, ἡ διαιρεθεῖσα ἑνοειδὴς
(the)-beginning of-the thoughts and cause (is)-the divided uniform
διὰ τῆς παραβάσεως τοῦ ἀνθρώπου ἁπλῆ μνήμη, δι' ἧς
through the transgression of-the man simple memory through which

καὶ τὴν θείαν ἀπώλεσε, σύνθετος ἐξ ἁπλοῦ καὶ ποικίλη
also the divine(-memory) it-lost compound from simple and varied
ἐκ μονοειδοῦς, ταῖς οἰκείαις δυνάμεσι γεγονυῖα ὤλλετο.
from uniform in-the own powers having-become it-perished
Ἴασίς ἐστι τῆς ἀρχεγόνου μνήμης, ἀπὸ τῆς πονηρᾶς 61
(the)-healing is of-the primordial memory from the evil
τῶν λογισμῶν ὀλεθροτόκου μνήμης, ἡ πρὸς τὸ ἀρχαῖον
of-the thoughts destruction-bearing memory the toward the ancient
ἁπλοῦν αὐτῆς ἐπάνοδος· ὄργανον γὰρ κακίας, ἡ
simple(-state) its return (the)-instrument for of-vice the
παρακοή, οὐ μόνον τὴν τῆς ψυχῆς πρὸς τὸ ἀγαθὸν
disobedience not only the of-the soul toward the good
ἁπλῆν μνήμην ἐδημιούργησεν, ἀλλὰ καὶ πάσας τὰς ἑαυτῆς
simple memory fashioned but also all the its-own
δυνάμεις διέφθειρε, τὰς κατὰ φύσιν ὀρέξεις πρὸς ἀρετὴν
powers corrupted the according-to nature appetites toward virtue
ἀμαυρώσας· ἰᾶται δὲ τὴν μνήμην κυρίως, ἡ θεία παγιωθεῖσα
having-darkened heals and the memory properly the divine fixed
ἔμμονος διὰ προσευχῆς μνήμη, ἀπὸ τοῦ κατὰ φύσιν,
abiding through prayer memory from the according-to nature
εἰς τὸ ὑπὲρ φύσιν ἀνακραθεῖσα τῷ πνεύματι.
to the beyond nature mingled with-the spirit
Παθῶν μὲν αἰτίαι, αἱ καθ' ἁμαρτίαν πράξεις· 62
of-passions indeed causes (are)-the according-to sin deeds
λογισμῶν δέ, τὰ πάθη· φαντασιῶν δέ, λογισμοί, ἐννοιῶν
of-thoughts and the passions of-imaginations and thoughts of-conceptions
δέ, μνήμη· μνήμης δέ, λήθη· λήθης δέ, ἄγνοια
and memory of-memory and forgetfulness of-forgetfulness and ignorance
γεννήτρια· ἀγνοίας δέ, ῥᾳθυμία. Ῥᾳθυμίαν δὲ τίκτει,
(the)-begetter of-ignorance and sloth sloth and begets
ἐπιθυμίας ὄρεξις· ὀρέξεων δὲ μήτηρ, τροπῆς κίνησις·
of-desire appetite of-appetites and (the)-mother of-turning (is)-movement

κινήσεως δέ, ἐνέργεια πράξεως· πρᾶξις δέ ἐστι, κακοῦ
of-movement and (the)-working of-practice practice and is of-evil
ἀλόγιστος ἔφεσις, καὶ διάθεσις αἰσθητῶν, καὶ αἰσθήσεων.
irrational longing and disposition of-sensible(-things) and of-sensations

63 Ἐν μὲν τῷ λογικῷ, οἱ λογισμοί· ἐν δὲ τῷ θυμικῷ,
in indeed the rational(-part) the thoughts in and the irascible(-part)
τὰ θηριώδη πάθη· ἐν δὲ τῷ ἐπιθυμητικῷ, ἡ μνήμη τῆς
the bestial passions in and the desiring(-part) the memory of-the
κτηνώδους ὀρέξεως· ἐν δὲ τῷ νοερῷ, αἱ φανταστικαὶ
brutish appetite in and the intellectual(-part) the imaginative
μορφώσεις· ἐν δὲ τῷ διανοητικῷ, αἱ ἔννοιαι ἐνεργοῦσι
formings in and the discursive(-part) the conceptions work
καὶ ἀνατέλλουσι.
and rise

64 Ῥεῦμα ποτάμιόν ἐστιν ἡ ἔφοδος τῶν πονηρῶν λογισμῶν, ἐν
(a)-stream of-(a)-river is the onset of-the evil thoughts in
οἷς ἡ προσβολή, καὶ μεθ' ἧς ἡ συγκατάθεσις τῆς ἁμαρτίας
which the assault and with which the consent of-the sin
ὡς πλημμύρα κυματουμένη γίνεται, τὴν καρδίαν καλύπτουσα.
like (a)-flood surging becomes the heart covering

65 Ἰλὺν βυθοῦ νόει τὴν κάθυγρον ἡδονήν, ἢ τῆς
(the)-mud of-(the)-depth understand(-to-be) the sodden pleasure or of-the
πορνείας τὸν βόρβορον, ἢ καὶ τῶν ὑλικῶν πραγμάτων
fornication the mire or also of-the material things
τὴν ἀχθηδόνα, ἐξ ὧν βαρούμενος ὁ ἐμπαθὴς νοῦς, εἰς
the burden by which weighed-down the passionate mind into
βυθὸν ἀπογνώσεως ἑαυτὸν καταβαπτίζει τοῖς λογισμοῖς.
(the)-depth of-despair itself plunges with-the thoughts

66 Λογισμοὺς πολλάκις καὶ τοὺς λόγους τῶν πραγμάτων
thoughts often also the reasons of-the things
ἡ Γραφὴ εἴρηκεν, ὥσπερ καὶ νοήματα τοὺς λόγους, καὶ
the Scripture has-called as also notions the reasons and

τοὺς λόγους ἀντιστρόφως νοήματα· τοῦτο δὲ γίνεται
the reasons conversely notions this and happens
ἐπειδὴ ἡ κίνησις τῶν τοιούτων καθ' ἑαυτὴν μὲν ἄϋλός
since the movement of-the such(-things) by itself indeed immaterial
ἐστι, μορφοῦται δὲ διὰ τῶν πραγμάτων εἰς εἶδος, καὶ
is it-is-formed but through the things into (a)-form and
μεταπλάττεται, καὶ οὕτω τὸ προσβαλὸν διὰ τῆς
is-refashioned and thus the(-thing) assailing through the
ἐπιφανείας, γνωρίζεταί τε καὶ λέγεται.
surface is-known both and is-spoken-of
Οἱ λογισμοὶ λόγοι τῶν δαιμόνων εἰσί, καὶ τῶν παθῶν 67
the thoughts words of-the demons are and of-the passions
πρόδρομοι, ὥσπερ καὶ τῶν πραγμάτων, οἱ λόγοι καὶ τὰ
forerunners as also of-the things the reasons and the
νοήματα· ἀδύνατον γὰρ ἀγαθὸν ἢ κακὸν ἐνεργῆσαι, μὴ
notions (it-is)-impossible for good or evil to-work not
προσβαλὸν πρότερον τὸν ἑαυτοῦ λογισμόν, εἴπερ λογισμός
having-assailed first the its-own thought if-indeed (a)-thought
ἐστι, προσβολῆς ἀνείδεος κίνησις πραγμάτων ὁποιωνοῦν.
is of-assault formless movement of-things of-whatever-kind
Γεννᾷ ἡ μὲν ὕλη τῶν πραγμάτων ψιλοὺς λογισμούς, 68
begets the indeed matter of-the things bare thoughts
ἡ δὲ προσβολὴ ἡ δαιμονιώδης τοὺς πονηροὺς τεκταίνει·
the and assault the demonic the evil(-ones) fashions
διαφορὰν οὖν ἔχουσιν οἱ φυσικοὶ ἐκ τῶν παρὰ φύσιν,
difference then have the natural(-ones) from the(-ones) contrary-to nature
καὶ ὑπὲρ φύσιν λόγων, καὶ λογισμῶν, κατὰ σύγκρισιν.
and beyond nature reasons and thoughts by comparison
Ἰσουργοῦσι πρὸς τὴν ἐν ἀτόμῳ ἀλλοίωσιν, οἱ μὲν 69
work-equally toward the in (an)-instant alteration the(-ones) indeed
φυσικοί, πρὸς τοὺς παρὰ φύσιν, οἱ δὲ κατὰ
natural toward the(-ones) contrary-to nature the(-ones) and according-to

φύσιν, πρὸς τοὺς ὑπὲρ φύσιν εὐθὺς τρεπόμενοι· αἴτιοι
nature toward the(-ones) beyond nature at-once turning causes
δέ εἰσι πρὸς τὴν ἐν ἀλλήλοις τροπήν, καὶ γέννησιν, τῶν
and are toward the in one-another turning and begetting of-the
μὲν δαιμονικῶν, οἱ ἐκ τῆς ὕλης, τῶν δὲ ὑλικῶν,
indeed demonic(-ones) the(-ones) from the matter of-the and material(-ones)
ἐκ τῆς προσβολῆς· ὁμοίως καὶ τῶν θείων, οἱ φυσικοί,
from the assault likewise also of-the divine(-ones) the natural(-ones)
καὶ οἱ φυσικοί, τῶν ὑπὲρ φύσιν γεννήτορες· ἕκαστον γὰρ
and the natural(-ones) of-the beyond nature (are)-begetters each for
πρὸς τὸ συγγενὲς τὴν ἑαυτοῦ ἀλλοίωσιν ἔχει κινητικὴν
toward the kindred the its-own alteration has moving
τετραχῶς διῃρημένην, αἰτίαν καὶ γέννησιν.
fourfold divided cause and begetting

70 Σημείωσαι ὅτι προβέβληνται τῶν μὲν λογισμῶν αἱ αἰτίαι,
note that are-put-forward of-the indeed thoughts the causes
τῶν δὲ φαντασιῶν, οἱ λογισμοί, τῶν δὲ παθῶν, αἱ
of-the and imaginations the thoughts of-the and passions the
φαντασίαι, τῶν δὲ δαιμόνων τὰ πάθη, ὡς σειρά τις, καὶ
imaginations of-the and demons the passions as chain some and
τάξις ἐν ἀτάκτοις πνεύμασι, δολίως, ἓν τοῦ ἑνὸς ἐχόμενον
order in disorderly spirits deceitfully one on-the one holding
ἤρτηνται, πλὴν οὐδὲν ἐνεργεῖ καθ' αὑτό, ἀλλ' ὑπὸ δαιμόνων
they-hang but nothing works by itself but by demons
ἐνεργεῖται, οὔτε φαντασία εἰδωλοποιεῖται, οὔτε πάθος
is-worked neither imagination is-made-an-image nor passion
ἐνεργεῖ, χωρὶς τῆς λεληθότως κρυφίας δαιμονικῆς δυνάμεως·
works without the unawares hidden demonic power
εἰ γὰρ καὶ πέπτωκεν ὁ Σατὰν συντριβείς, ἀλλὰ πλέον
if for even has-fallen — Satan crushed yet more
ἰσχύει τῇ καθ' ἡμῶν ῥᾳθυμίᾳ γαυριούμενος ὑπὲρ ἡμῶν.
he-is-strong by-the against us sloth exulting over us

Μορφοῦσι τὸν νοῦν ἡμῶν, μᾶλλον δὲ μορφοῦνται καθ' 71
they-form the mind our rather but they-are-formed according-to
αὐτοὺς ἡμᾶς, καὶ προσβάλλουσι, κατὰ τὴν ἕξιν τοῦ
themselves us and assail according-to the habit of-the
ἐπικρατοῦντος, καὶ ἐνεργοῦντος πάθους ἐν τῇ ψυχῇ·
prevailing and working passion in the soul
αἰτίαν γὰρ πρὸς εἰδωλοποίησιν, τὴν ἕξιν τοῦ πάθους
(the)-cause for toward image-making the habit of-the passion
οἱ δαίμονες κέκτηνται· ποικίλην οὖν καὶ πολύμορφον τὴν
the demons have varied then and multiform the
φαντασίαν ἐγρηγορότως καὶ καθ' ὕπνους ἡμῖν δεικνύουσι·
imagination waking and in sleep to-us they-show
μεταμορφοῦνται γὰρ οἱ μὲν τῆς ἐπιθυμίας δαίμονες,
are-transformed for the(-ones) indeed of-the desire demons
ποτὲ μὲν εἰς χοίρους, ποτὲ δὲ εἰς ὄνους, ποτὲ δὲ εἰς
at-times indeed into swine at-times and into asses at-times and into
ἵππους θηλυμανεῖς καὶ πυροειδεῖς, ποτὲ δὲ εἰς Ἑβραίους,
stallions woman-mad and fiery at-times and into Hebrews
τῆς ἀκολασίας μάλιστα· τῆς δὲ ὀργῆς, ποτὲ μὲν εἰς
of-the licentiousness especially of-the and anger at-times indeed into
ἐθνικούς, ποτὲ δὲ εἰς λέοντας· καὶ τῆς μὲν δειλίας, εἰς
gentiles at-times and into lions and of-the indeed cowardice into
τοὺς Ἰσμαηλίτας· τῆς δὲ ἀκολασίας, εἰς τοὺς Ἰδουμαίους·
the Ishmaelites of-the and licentiousness into the Idumaeans
τῆς δὲ πολυποσίας καὶ ἀκρασίας, εἰς τοὺς Ἀγαρηνούς·
of-the and drunkenness and incontinence into the Agarenes
τῆς δὲ πλεονεξίας, ποτὲ μὲν εἰς τοὺς λύκους, ποτὲ δὲ
of-the and greed at-times indeed into the wolves at-times and
εἰς τοὺς παρδάλεις· τῆς δὲ πονηρίας, ποτὲ μὲν εἰς τοὺς
into the leopards of-the and wickedness at-times indeed into the
ὄφεις, ποτὲ δὲ εἰς ἔχεις μεταμορφοῦνται, ποτὲ δὲ καὶ
snakes at-times and into vipers they-are-transformed at-times and also

εἰς ἀλώπεκας· τῆς δὲ ἀναιδείας, εἰς τοὺς κύνας· τῆς δὲ
into foxes of-the and shamelessness into the dogs of-the and
ἀκηδίας, εἰς τοὺς κάττους. Ἔστι δ' ὅτε καὶ τῆς πορνείας,
listlessness into the cats there-is and when also of-the fornication
ποτὲ μὲν εἰς ὄφεις, ποτὲ δὲ καὶ εἰς κοράκους, καὶ
at-times indeed into snakes at-times and also into ravens and
κολοιούς, ὡς πετεινὰ δὲ οἱ ψυχικοί, μάλιστα δὲ ἐναέριοι
jackdaws as birds and the soulish especially and aerial
δαίμονες μεταβάλλονται. Ἔχει δὲ τὴν αἰτίαν ἡ φαντασία
demons change has and the cause the imagination
τριχῶς, ἀλλοιοῦσαν τὰς μορφὰς τῶν πνευμάτων, κατὰ τὸ
threefold altering the forms of-the spirits according-to the
τριμερὲς τῆς ψυχῆς, ὥστε καὶ τὴν φαντασίαν τριπλῆν εἶναι,
tripartite of-the soul so-that also the imagination threefold to-be
ἐν πετεινοῖς, ἐν θηρίοις, ἐν κτήνεσι, πρὸς τὸ ἐπιθυμητικόν,
in birds in beasts in cattle toward the desiring
θυμικόν, καὶ λογιστικὸν τὰς τῆς ψυχῆς δυνάμεις· οἱ τρεῖς
irascible and rational the of-the soul powers the three
γὰρ ἄρχοντες τῶν παθῶν, κατὰ τῶν τριῶν ἀεὶ ὁπλίζονται,
for rulers of-the passions against the three always are-armed
καὶ πρὸς ὃ πεποίωται ἡ ψυχὴ πάθος, πρὸς αὐτὸ
and to which is-qualified the soul passion toward it
κατὰ τὸ συγγενὲς μορφάζονται ἡμῖν καὶ προσέρχονται.
according-to the kindred they-take-form to-us and approach
72 Ὡς πῦρ μὲν πολλάκις καὶ ὡς ἄνθρακες οἱ τῆς ἡδονῆς
as fire indeed often and as coals the of-the pleasure
προσέρχονται δαίμονες· τὰ φιλήδονα γὰρ πνεύματα,
approach demons the pleasure-loving for spirits
τὸ μὲν ἐπιθυμητικὸν ἐκκαίουσι, τὸ δὲ διανοητικόν,
the indeed desiring(-part) inflame the and discursive(-part)

συγχέοντες, σκοτίζουσι τῆς ψυχῆς· καύσεως γάρ, ταραχῆς,
confounding darken of-the soul of-burning for confusion
καὶ σκότους αἰτία, ἡ κυρίως τῶν παθῶν ἡδονή.
and darkness (the)-cause (is)-the properly of-the passions pleasure
Νὺξ τῶν παθῶν, τῆς ἀγνοίας τὸ σκότος ἐστίν, ἢ 73
(the)-night of-the passions of-the ignorance the darkness is or
πάλιν, νύξ ἐστιν ἡ γεννητικὴ τῶν παθῶν ἐπικράτεια,
again night is the begetting of-the passions dominion
ἐν ᾗ βασιλεύει ὁ τοῦ σκότους ἔξαρχος, καὶ ἐν ᾧ
in which reigns the of-the darkness prince and in which
τὰ θηρία τοῦ ἀγροῦ, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ
the beasts of-the field and the birds of-the heaven and
τὰ ἑρπετὰ τῆς γῆς τροπικῶς λεγόμενα πνεύματα
the creeping(-things) of-the earth figuratively called spirits
ὠρυόμενα ζητοῦντα ἁρπάσαι ἡμᾶς εἰς βρῶσιν αὐτῶν.
roaring seeking to-snatch us for food their
Κατὰ καιρὸν τῆς τῶν παθῶν ἐνεργείας οἱ λογισμοί, οἱ 74
by (the)-time of-the of-the passions working the thoughts the(-ones)
μὲν προηγοῦνται, οἱ δὲ ἕπονται· καὶ προηγοῦνται
indeed go-before the(-others) and follow and go-before
μὲν οἱ λογισμοὶ τῶν φαντασιῶν, ἕπονται δὲ τῶν
indeed the thoughts the imaginations follow and the
φαντασιῶν τὰ πάθη, καὶ τῶν μὲν δαιμόνων προηγοῦνται
imaginations the passions and the indeed demons go-before
τὰ πάθη, ἕπονται δὲ τοῖς πάθεσιν οἱ δαίμονες.
the passions follow and to-the passions the demons
Ἀρχὴ τῶν παθῶν καὶ αἰτία ἐστὶν ἡ παράχρησις· 75
(the)-beginning of-the passions and cause is the misuse
παραχρήσεως δέ, ἡ τροπή· τροπῆς δέ, ἡ ῥοπὴ
of-misuse and the turning of-turning and the inclination
τῆς θελητικῆς ἕξεως· θελήσεως δὲ δοκίμιον, ἡ
of-the volitional habit of-will and (the)-test (is)-the

προσβολή· προσβολῆς δέ, οἱ δαίμονες, διὰ τῆς προνοίας
assault of-assault and the demons through the providence
παραχωρούμενοι δεικνύειν τὸ ἡμῶν αὐτεξούσιον ὁποῖόν
permitted to-show the our self-determination of-what-sort
ἐστιν.
it-is

76 Ἰὸς τοῦ κέντρου τῆς ἁμαρτίας πρὸς θάνατον ἡ
(the)-poison of-the sting of-the sin unto death (is)-the
ἐμπαθὴς ἕξις τῆς ψυχῆς· ἀκίνητον γὰρ ἔχει καὶ ἀμετάβλητον
passionate habit of-the soul immovable for has and unchangeable
τὸν τρόπον ὁ τοῖς πάθεσι ποιωθεὶς ἑκουσίως.
the manner the(-one) by-the passions qualified willingly

77 Πάθη λέγονται πολυτρόπως, διαιροῦνται δὲ εἰς σωματικά,
passions are-spoken-of in-many-ways are-divided and into bodily
καὶ ψυχικά· τὰ σωματικὰ ὑποδιαιροῦνται εἰς ἀλγεινά,
and psychic the bodily are-subdivided into painful
καὶ ἁμαρτητικά· τὰ ἀλγεινὰ ὑποδιαιροῦνται εἰς νοσηρὰ
and sinful the painful are-subdivided into sickly
καὶ παιδευτικά· τὰ ψυχικὰ πάλιν διαιροῦνται εἰς θυμικά,
and disciplinary the psychic again are-divided into irascible
ἐπιθυμητικὰ καὶ λογιστικά· τὰ λογιστικὰ ὑποδιαιροῦνται εἰς
desiring and rational the rational are-subdivided into
φανταστικὰ καὶ διανοητικά. Τούτων τὰ μέν εἰσι κατὰ
imaginative and discursive of-these the(-ones) indeed are by
παράχρησιν θελητικά, τὰ δέ, κατὰ ἀνάγκην ἀκούσια,
misuse voluntary the(-others) and by necessity involuntary
ὡς ἀδιάβλητα πάθη λεγόμενα, ἃ καὶ παρακολουθήματα,
as blameless passions called which also consequences
καὶ φυσικὰ ἰδιώματα οἱ Πατέρες ἐκάλεσαν.
and natural properties the Fathers called

Ἄλλα τὰ σωματικὰ πάθη, καὶ ἄλλα τὰ ψυχικά· τὰ 78
other(-are) the bodily passions and other the psychic the(-ones)
τῆς ἐπιθυμίας ἕτερα, καὶ ἄλλα τοῦ θυμοῦ· ἕτερα
of-the desire different and other(-are) of-the anger different
τὰ τοῦ λογιστικοῦ, καὶ ἄλλα τὰ τοῦ νοὸς καὶ
the(-ones) of-the rational(-part) and other the(-ones) of-the mind and
τῆς διανοίας· κοινωνοῦσι δὲ ἀλλήλοις, καὶ συνεργοῦσι
of-the thought share and with-one-another and work-together
θάτερα τοῖς ἑτέροις· τὰ μὲν σωματικά, πρὸς τὰ
the-ones with-the others the indeed bodily with the(-ones)
τῆς ἐπιθυμίας, τὰ δὲ ψυχικά, πρὸς τὰ τοῦ θυμικοῦ,
of-the desire the and psychic with the(-ones) of-the irascible(-part)
καὶ πάλιν τὰ λογιστικά, πρὸς τὰ νοερά, καὶ τὰ νοερά,
and again the rational with the intellectual and the intellectual
πρὸς τὰ τῆς διανοίας καὶ τῆς μνήμης παθήματα.
with the of-the thought and of-the memory sufferings

VIII · GREGORY OF SINAI, CHAPTERS IN ACROSTIC, 79–115

The passions of anger, desire, flesh, reason, mind, and thought are listed; brutish anger and desire followed the fall. The virtues grow from the soul's three powers, each with vices by excess and defect. Then the hesychast's day and night: the hours of prayer, reading, and psalmody, a pound of bread, three ways of keeping vigil. Stillness needs faith and patience; prayer is God working all in all, and humility is reached by reckoning oneself below all.

Θυμοῦ μέν εἰσι πάθη, ὀργή, πικρία, κραυγή, ὀξυχολία, 79
of-anger indeed are passions wrath bitterness clamor quick-temper
θράσος, τύφος, ἀλαζωνία, καὶ εἴτι ἕτερον· ἐπιθυμίας
rashness conceit boastfulness and if-anything other of-desire
δέ, πλεονεξία, ἀκολασία, ἀκρασία, ἀπληστία, φιληδονία,
and greed licentiousness incontinence insatiability love-of-pleasure

φιλαργυρία, φιλαυτία ἡ πάντων χαλεπωτέρα· τὰ
love-of-money self-love the of-all more-grievous the(-passions)
δὲ τῆς σαρκός, πορνεία, μοιχεία, ἀκαθαρσία, ἀσωτία,
and of-the flesh fornication adultery uncleanness profligacy
ἀδικία, γαστριμαργία, ἀκηδία, περπερότης, φιλακοσμία,
injustice gluttony listlessness braggadocio love-of-finery
φιλοζωΐα, καὶ εἴτι ἕτερον· τὰ δὲ τοῦ λογιστικοῦ
love-of-life and if-anything other the(-passions) and of-the rational
μέρους εἰσίν, ἀπιστία, βλασφημία, πονηρία, πανουργία,
part are unbelief blasphemy wickedness knavery
περιέργεια, διψυχία, λοιδορία, καταλαλιά, κατάκρισις,
meddling double-mindedness reviling slander condemnation
ἐξουδένωσις, εὐτραπελία, ὑπόκρισις, ψεῦδος, αἰσχρολογία,
contempt buffoonery hypocrisy lying foul-talk
μωρολογία, ὑπουλότης, εἰρωνία, φανητία, ἀνθρωπαρέσκεια,
foolish-talk deceitfulness dissembling showing-off man-pleasing
μετεωρισμός, ἐπιορκίαι, ἀργολογίαι, καὶ τὰ λοιπά· τὰ
distraction perjuries idle-talk and the rest the(-passions)
δὲ τοῦ νοός, οἴησις, ἔπαρσις, μεγαλαυχίαι, ἔρις, ζῆλος,
and of-the mind conceit elation boastings strife jealousy
αὐταρέσκεια, ἀντιλογία, ἀνηκοΐα, φαντασία, ἀναπλασμοί,
self-satisfaction contradiction disobedience fantasy fabrications
φιλενδειξίαι, φιλοδοξία, ὑπερηφανία, τὸ πρῶτον καὶ
love-of-display love-of-glory pride the first and
ἔσχατον πάντων τῶν κακῶν· τὰ δὲ τῆς διανοίας εἰσὶ
last of-all the evils the(-passions) and of-the thought are
ταῦτα, ῥεμβασμοί, μετεωρισμοί, αἰχμαλωσίαι, σκότωσις,
these wanderings distractions captivities darkening
τύφλωσις, ἀπαγωγαί, προσβολαί, συγκαταθέσεις, ῥοπαί,
blinding abductions assaults assents inclinations
τροπαί, παραῤῥισμοί, καὶ τὰ ὅμοια τούτων, ὡς ἐν
turnings slidings and the(-things) like these as in

ὅρῳ δὲ φάναι, πάντα τὰ παρὰ φύσιν κακὰ ταῖς
by-definition but to-say all the contrary-to nature evils with-the
τρισὶ δυνάμεσι τῆς ψυχῆς συνεμίγησαν, ὥσπερ καὶ τὰ
three powers of-the soul were-mingled as also the
ἀγαθὰ ἐν αὐταῖς πάντα συνυπάρχουσι κατὰ φύσιν.
good(-things) in them all coexist according-to nature
Ὢ τῆς τοῦ Δαβὶδ πρὸς τὸν Θεὸν μετ' ἐκπλήξεως 80
oh! of-the — of-David to — God with amazement
μεγαληγορίας, ἐθαυμαστώθη, λέγοντος, Ἡ γνῶσίς σου ἐξ
grand-speech was-made-wonderful saying the knowledge your from
ἐμοῦ, οὐ γὰρ δύναμαι πρὸς αὐτὴν ἰσχυροτέραν οὖσαν καὶ
me not for I-can toward it stronger being and
ἀνέφικτον ὑπὲρ τὴν ἐμὴν ἀσθενῆ γνῶσιν καὶ δύναμιν τὴν
unreachable beyond the my weak knowledge and power the
ἐπ' ἐμοί· πῶς καὶ ἡ σὰρξ ἀκατάληπτος αὕτη κατὰ τὴν
in me how also the flesh incomprehensible this according-to the
σύνθεσιν τῆς διαπλάσεως οὖσα, τριαδικὴν ἐν ἑκάστῳ εἶδει,
composition of-the formation being trinitarian in each form
καὶ μίαν ἔχουσαν τὴν ἁρμονίαν τῶν ἰδίων μελῶν καὶ
and one having the harmony of-the own members and
μερῶν, καὶ ἀριθμῷ ἑβδοματικῷ δευτέρῳ τιμωμένην, ὅπερ
parts and by-number seven second honored which
χρόνον καὶ φύσιν κατὰ τοὺς ἀριθμητικοὺς ἐμφαίνει, ὡς
time and nature according-to the arithmeticians shows so-as
εἶναι καὶ αὐτὸ εἰς δόξαν Θεοῦ ὄργανον ἐκφαντορικὸν
to-be also it for (the)-glory of-God (an)-instrument revealing
τριαδικῆς μεγαλοπρεπείας φυσιολογούμενον, κατὰ τοὺς
of-trinitarian majesty studied-in-nature according-to the
ἐνεργεῖς νόμους φύσεως.
active laws of-nature

81 Νόμοι φύσεώς εἰσιν αἱ ποιαὶ τῶν ἐνεργουμένων μελῶν
laws of-nature are the qualified of-the worked members
συνθέσεις, ἃς καὶ ἑτερότητας ὁ λόγος ἐκάλεσεν, ὡς
compositions which also differences the word called as
πολυμερείας τῶν ἰδίων ἰδιοτήτων. Ἢ πάλιν, νόμος φυσικός
multiplicities of-the own properties or again law natural
ἐστιν ἡ ἑκάστου εἶδους καὶ μέλους ἐνέργεια ἐν δυνάμει.
is the of-each form and member working in power
Ὥσπερ γὰρ ὁ Θεὸς τὴν ἅπασαν κτίσιν, οὕτως ἡ ψυχὴ τὰ
as for — God the whole creation thus the soul the
τοῦ σώματος μέλη καὶ ἐνεργεῖ, καὶ κινεῖ ἕκαστον πρὸς τὴν
of-the body members both works and moves each toward the
ἰδίαν ἐνέργειαν. Ζητητέον δὲ τίνι λόγῳ τὸν θυμὸν καὶ
own working (it-is)-to-be-sought and by-what reason the anger and
τὴν ἐπιθυμίαν, ποτὲ μὲν οἱ θεοφόροι ἄνδρες, τῆς σαρκὸς
the desire at-times indeed the God-bearing men of-the flesh
εἶναι φάσκουσι, ποτὲ δέ, ὅτι τῆς ψυχῆς εἰσι δυνάμεις.
to-be declare at-times but that of-the soul they-are powers
Καί φαμεν, ὅτι οὐδεμίαν ἀσυμφωνίαν ἔχουσιν οἱ λόγοι τῶν
and we-say that no discord have the words of-the
ἁγίων παρὰ τοῖς ἀκριβῶς εἰδόσιν αὐτούς, ἀλλ' ἀμφότεροι
saints among the(-ones) exactly knowing them but both
ἀληθεύουσι, καὶ κατὰ τὸ προσῆκον τὰς προσηγορίας
speak-truly and according-to the fitting the names
ἐναλλάσσουσι πάνυ σοφῶς, διὰ τὴν ἀῤῥήτως ἄμφω
interchange very wisely because-of the ineffably both
γένεσιν εἰς τὸ εἶναι κατὰ τὸν τῆς συνυπάρξεως τρόπον·
generation into the being according-to the of-the coexistence manner
ὡς εἶναι μὲν τελεία ἡ ψυχὴ ἀπ' ἐντεῦθεν, ἀτελὲς δὲ τὸ
so-as to-be indeed perfect the soul from here imperfect but the
σῶμα, διὰ τὴν θρεπτικὴν αὔξησιν. Ἡ ψυχὴ γὰρ καθ'
body because-of the nutritive growth the soul for by

αὐτὴν ἔχει καὶ δύναμιν ὀρεκτικῆς ἐπιθυμίας, καὶ θυμικὴν
itself has also (the)-power of-appetitive desire and irascible(-power)
ἀνώτατόν ἐστιν, ἀλλὰ καὶ κινητικώτατον· ὡς γὰρ τὸ
highest it-is but also most-movable as for the
συμπεπιλημένον ἄκρως, καὶ βαρύτατον, κατώτατόν τε καὶ
compressed extremely and heaviest (is)-lowest both and
κουφότατον, ἀνώτατόν τε ἅμα καὶ κινητικώτατον· ἐπεὶ
lightest highest both at-once and most-movable since
οὖν κινεῖσθαι πέφυκεν ἐπιπολάζον ἄνω φύσει, τὸ δὲ
then to-move it-is-its-nature floating-on-top upward by-nature the(-thing) and
οὕτως ἐπιπολάζον, χωρισθῆναι τῇ ἑαυτοῦ φύσει ὧν
thus floating-on-top to-be-separated by-the its-own nature from-what
ἐπιπολάζει ἀδυνάτως ἔχει, σφαιρικὰ δέ ἐστιν, οἷς
it-floats-on unable is spherical and are (the-things)-on-which
τὸ οὐράνιον ἐπιπολάζει σῶμα, κατ᾽ ἀνάγκην θεῖ περὶ
the heavenly floats body by necessity it-runs around
αὐτὰ ἀπαύστως, οὐ φύσει ψυχικῇ, ἀλλὰ σωματοειδεῖ
them unceasingly not by-nature psychic but bodily
τε καὶ οἰκείᾳ· ἐπεὶ καὶ τόπον ἐκ τόπων ἀμείβει κατὰ
both and own since also place from places it-exchanges by
μέρη, ἡ κίνησις ἰδιαιτάτη ἐστὶ σωμάτων, ὥσπερ καὶ ἡ
parts the movement most-proper is of-bodies as also the
ἀντικειμένη στάσις, τῶν ἐχόντων σωμάτων ἀντιθέτως.
opposite rest of-the having bodies oppositely

8 Ἴδοι τις ἂν κἀν τοῖς ἐγγὺς περὶ ἡμᾶς τοὺς ἀνέμους,
might-see one — even-in the(-things) near around us the winds
οἷς πεφύκασιν ἐπιπολάζειν, μὴ χωριζομένους περὶ ταῦτα
on-which it-is-their-nature to-float not separated around these
κινουμένους, ἀνωτέρω δὲ μηδαμῶς προερχομένους, οὐ τῷ
moving higher but in-no-way advancing not by-the
μὴ εἶναι τόπον, ἀλλὰ τῷ κοῦφα μᾶλλον αὐτῶν εἶναι τὰ
not to-be place but by-the light more than-them to-be the(-things)
ὑπὲρ αὐτούς. Μένουσι δὲ ἐφ᾽ ὧν ἐπιπολάζουσιν, ἅτε
above them they-remain and on what they-float inasmuch-as
κουφότεροι τούτων τὴν φύσιν ὄντες· κινοῦνται δὲ καὶ οὗτοι
lighter than-these the nature being they-move and also these
περὶ ταῦτα, οὐ φύσει ψυχικῇ, ἀλλὰ τῇ φύσει ἑαυτῶν. Καὶ
around these not by-nature psychic but by-the nature their-own and
ταύτην οἶμαι τὴν μετρίαν ἐμφέρειαν, καὶ ὁ τὰ πάντα
this I-think the moderate resemblance also the in-the all(-things)
σοφὸς Σολομὼν ἐνδείξασθαι βουλόμενος, τοῖς ἀνέμοις
wise Solomon to-show wishing with-the winds
ὁμωνύμως ἐκάλεσε τὸ οὐράνιον σῶμα, περὶ τούτου γράφων·
by-the-same-name called the heavenly body about this writing
«Κυκλοῖ κυκλῶν πορεύεται τὸ πνεῦμα, καὶ ἐπὶ κύκλους
it-circles circling goes the wind and upon circles
αὐτοῦ ἐπιστρέφει τὸ πνεῦμα.» Ἀπέχει δὲ τῶν ἀνωτάτω ἡ
its returns the wind is-distant but from-the highest(-things) the
τῶν περὶ ἡμᾶς ἀνέμων φύσις, καὶ τῆς ταχυτάτης κινήσεως
of-the around us winds nature and from-the swiftest movement
ἐκείνων, καθόσον ἀποδεῖ καὶ τῆς κουφότητος αὐτῶν.
of-those in-so-far-as it-falls-short also of-the lightness their

9 Δύο ζῶναι τῆς γῆς εἰσιν ἀντεύκρατοι καὶ οἰκήσιμοι, κατὰ
two zones of-the earth are opposite-temperate and habitable according-to
τοὺς τῶν Ἑλλήνων σοφούς, ὧν ἑκατέρα εἰς δύο οἰκουμένας
the of-the Greeks wise whose each into two inhabited-parts

μεριζομένη, τέσσαρας εἶναι ταύτας παρασκευάζουσι. Διὸ
divided four to-be them makes wherefore
καὶ τέσσαρα γένη τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς εἶναι
also four races of-the men upon the earth to-be
διισχυρίζονται, πρὸς ἄλληλα διαβαίνειν ἀδυνάτως ἔχοντα·
they-insist to one-another to-cross unable being
εἰσὶ γὰρ κατ᾽ αὐτούς, οἱ τὴν ἐκ πλαγίου οἰκοῦντες
are for according-to them the(-ones) the from (the)-side inhabiting
ἡμῖν ἀντεύκρατον, οἵτινες ἡμῶν τῇ διακεκαυμένῃ
to-us opposite-temperate(-zone) who from-us by-the burnt
ζώνῃ τῆς γῆς διορίζονται· τούτοις δέ εἰσιν ἀντικειμένοις
zone of-the earth are-divided to-these and are opposite
οἰκοῦντες, οἱ τὸ πρὸς αὐτοὺς δοκοῦν, ὑποκάτω
dwelling the(-ones) the in-relation-to them seeming under
τῆς ζώνης ταύτης οἰκοῦντες· ὥσπερ καὶ ἡμῖν οἱ τὸν
the zone this dwelling as also to-us the(-ones) the
αὐτὸν τρόπον πρὸς ἡμᾶς ἔχοντες, ὧν τοὺς μὲν
same way in-relation-to us being of-whom the(-ones) indeed
ἀντικειμένους, τοὺς δὲ ἀντίποδας, καὶ ἀντεστραμμένους,
opposite the(-others) and antipodes and inverted
πρὸς ἡμᾶς φασιν· ἠγνόησαν γάρ, ὅτι πλὴν τοῦ
in-relation-to us they-call they-were-ignorant for that except the
δεκάτου μέρους τῆς κατὰ τὴν γῆν σφαίρας, τ᾽ ἄλλο
tenth part of-the according-to the earth sphere the rest
σχεδὸν ἅπαν τῇ ἀβύσσῳ περικλύζεται τῶν ὑδάτων.
almost all by-the abyss is-flooded of-the waters
Γνοίη τις ἄν, πλὴν τῆς καθ᾽ ἡμᾶς οἰκουμένης, μηδὲν 10
might-know one — except the according-to us inhabited(-world) no
ἕτερον τῆς γῆς μέρος οἰκήσιμον εἶναι, ὡς τῇ ἀβύσσῳ
other of-the earth part habitable to-be as by-the abyss
περικλυζόμενον, ἐπὶ νοῦν λαβών, ὡς ἰσομοιρίαν μὲν ἔχει
flooded into mind having-taken that equal-share indeed have

τὰ τέσσαρα στοιχεῖα, ἐξ ὧν ὁ κόσμος. Κατὰ λόγον
the four elements from which the world in proportion
δὲ τῆς οἰκείας ἀραιότητος, τούτων ἕκαστον ἑτέρου
and to-the own rarity of-these each than-another
πολυπλάσιον ἔχει τὸ τῆς σφαίρας οἰκεῖον μέγεθος, ὡς καὶ
many-times-greater has the of-the sphere own magnitude as also
τῷ Ἀριστοτέλει συνδοκεῖ. Πέντε γάρ εἰσι, φησί, στοιχεῖα,
— to-Aristotle it-seems-good five for are he-says elements
ἐν πέντε χώραις σφαιρικῶς ἐγκείμενα· περιεχομένης ἀεὶ
in five regions spherically lying contained always
τῆς ἐλάττονος τῇ μείζονι, γῆς μὲν ὕδατι, ὕδατος δὲ ἀέρι,
the lesser by-the greater earth indeed by-water of-water and by-air
ἀέρος δὲ πυρί, πυρὸς δὲ αἰθέρι, καὶ οὗτός ἐστιν ὁ κόσμος.
of-air and by-fire of-fire and by-ether and this is the world
11 Αἰθὴρ μὲν οὖν περιφανέστατα τοῦ πυρός, ὃ καὶ
ether indeed then most-manifestly than-the fire which also
ὑπέκκαυμα καλεῖται, καὶ τῆς ἀερώδους σφαίρας τὸ πῦρ,
tinder is-called and than-the airy sphere the fire
πολλαπλάσιον ἔχει τὸν ὄγκον, καὶ ἀὴρ πάλιν ὕδατος,
many-times-greater has the bulk and air again than-water
καὶ τὸ ὕδωρ τῆς γῆς, ἥτις ἄκρως συμπεπιλημένη,
and the water than-the earth which extremely compressed
ἐλαχίστη τὸν ὄγκον ἐν τοῖς ὑπ᾽ οὐρανὸν τέσσαρσίν ἐστι.
least the bulk among the under heaven four is
Πολλαπλασίως γοῦν τῆς γῆς ἔχουσα τὸ μέγεθος ἡ τοῦ
many-times-over then than-the earth having the magnitude the of-the
ὕδατος σφαῖρα, εἰ περιεκέχυτο τὴν περιφέρειαν τῆς γῆς
water sphere if it-had-been-poured-round the circumference of-the earth
πᾶσαν, ὡς περὶ ἓν κέντρον τὰς ἀμφοτέρας περιάγεσθαι
all so-as about one center the both to-be-carried-round
σφαίρας, τῆς γῆς, λέγω, καὶ τοῦ ὕδατος, οὐδενὶ ταύτης
spheres of-the earth I-mean and of-the water in-no of-it

ἂν μέρει, χερσαίοις ζώοις τὸ ὕδωρ ἠφίει
— part for-land living-creatures the water would-have-allowed
χρῆσθαι, κατακαλύπτον ἅπαν ἔδαφος αὐτῆς, καὶ πάσης
to-use covering every ground its and all
τῆς κατ᾽ αὐτὴν ἐπιφανείας ὑπερεκτεινόμενον πολλῷ τῷ
the over it surface overextending by-much the
μέτρῳ. Ἐπεὶ δὲ μὴ πᾶσαν τὴν τῆς γῆς ἐπιφάνειαν
measure since but not all the of-the earth surface
περιλαμβάνει· ἔστι γὰρ ἡ τῆς καθ᾽ ἡμᾶς οἰκουμένης
it-embraces is for the of-the according-to us inhabited(-world)
χέρσος ἀκατακάλυπτος· ἔκκεντρος οὐκοῦν ἐστι κατὰ πᾶσαν
dry-land uncovered eccentric therefore it-is by every
ἀνάγκην ἡ τοῦ ὕδατος σφαῖρα. Δεῖ οὖν ζητεῖν πόσον
necessity the of-the water sphere (one)-must then to-seek how-much
ἂν ἔκκεντρος εἴη· καὶ ποῦ τὸ κέντρον, ἄρ᾽ ὡς
— eccentric it-would-be and where the center (is-it)-then as
πρὸς ἡμᾶς κατωτέρω, ἢ ἀνωτέρω; ἀλλ᾽ ἀνωτέρω μὲν
in-relation-to us lower or higher but higher indeed
εἶναι, τῶν ἀδυνάτων· ὑφ᾽ ἡμᾶς γὰρ ὁρῶμεν οὖσαν
to-be (is)-of-the impossible(-things) under us for we-see being
ἐκ μέρους τὴν τοῦ ὕδατος ἐπιφάνειαν· κατωτέρω ἄρα ὡς
in part the of-the water surface lower then as
πρὸς ἡμᾶς ἐστι καὶ αὐτοῦ τοῦ τῆς γῆς κέντρου,
in-relation-to us is even than-the-very the of-the earth center
τὸ κέντρον τῆς τοῦ ὕδατος σφαίρας. Λείπεται δὲ ζητεῖν,
the center of-the of-the water sphere it-remains and to-seek
πόσον ἀπέχει τοῦ τῆς γῆς κέντρου τὸ κέντρον τοῦτο.
how-much is-distant from-the of-the earth center the center this
Γνοίη τις ἂν πόσον ἐπὶ τὸ δοκοῦν πρὸς ἡμᾶς 12
might-know one — how-much toward the seeming in-relation-to us
κάτω, τοῦ κέντρου τῆς γῆς ἀπέχει τὸ τῆς σφαίρας τοῦ
down from-the center of-the earth is-distant the of-the sphere of-the

ὕδατος κέντρον, λαβὼν ἐπὶ νοῦν, ὡς τῇ ἐπιφανείᾳ τῆς
water center having-taken into mind that to-the surface of-the
γηΐνης σφαίρας, ἥτις ἐστὶν ἡ καθ' ἡμᾶς οἰκουμένη,
earthly sphere which is the according-to us inhabited(-world)
ἐφαρμόζεται σχεδὸν ἡ παρ' ἡμῶν ὁρωμένη, καὶ ὑφ'
is-fitted almost the by us seen and under
ἡμᾶς, καθάπερ τὸ πατούμενον ὑφ' ἡμῶν τῆς γῆς ἔδαφος,
us like the trodden by us of-the earth ground
οὖσα τοῦ ὕδατος ἐπιφάνεια. Ἔστι δὲ τὸ καθ' ἡμᾶς
being of-the water surface is and the according-to us
τῆς γῆς οἰκήσιμον, ὡσεὶ δέκατον τοῦ τῆς κατ' αὐτὴν
of-the earth habitable(-part) about (a)-tenth of-the of-the about it
περιμέτρου. Πέντε γὰρ ἡ γῆ ζώνας ἔχει· μιᾶς δὲ τῶν
circumference five for the earth zones has of-one and of-the
πέντε τούτων, τὸ ἥμισυ παρ' ἡμῶν κατοικεῖται. Εἴ τις
five these the half by us is-inhabited if anyone
οὖν τῷ δεκάτῳ τούτῳ τῆς ἐπιφανείας μέρει ἐφαρμόσαι
then to-the tenth this of-the surface part to-fit
θελήσει σφαῖραν περὶ τὴν γῆν, τὴν ἐναρμοζομένην εὑρήσει
will-wish (a)-sphere about the earth the fitting-in he-will-find
σφαῖραν, διπλασίως μὲν σχεδὸν ἔχουσαν τὴν διάμετρον
sphere double indeed almost having the diameter
τῆς ἔξωθεν ἐφαρμοζομένης, καὶ ταύτην περιεχούσης
of-the from-outside fitted and it embracing
σφαίρας, ὀκταπλασίως δὲ τὸ μέγεθος οὖσαν, καὶ τὸ
sphere eightfold and the magnitude being and the
κέντρον ἔχουσαν ἐπὶ τοῦ κατωτάτου δοκοῦντος ἡμῖν
center having at the lowest seeming to-us
πέρατος τῆς γῆς· καὶ τοῦτο δῆλον ἐκ τοῦ διαγράμματος.
limit of-the earth and this (is)-clear from the diagram

Ἔστω σφαῖρα τῆς γῆς κύκλος, ᾧ ἔνδον ὑπογέγραπται, 13
let-be (the)-sphere of-the earth (a)-circle in-which within is-inscribed
α, β, γ, δ, καὶ περὶ αὐτὸν ἔστω περιηγμένος, ἀντὶ τῆς
a b c d and about it let-be drawn-round instead-of the
σφαίρας τοῦ ὕδατος, ἕτερος κύκλος, συναρμοζόμενος κατὰ
sphere of-the water another circle fitted-together at
τὴν ἐπιφάνειαν, τῷ ἄνω δεκάτῳ τοῦ ἐν αὐτῷ κύκλου, ᾧ
the surface to-the upper tenth of-the in it circle on-which
ἐπιγέγραπται, ε, ζ, η, θ· εὑρεθήσεται γὰρ τὸ μὲν ὡς πρὸς
is-written e f g h will-be-found for the indeed as in-relation-to
ἡμᾶς κάτω, πέρας τοῦ ἐν αὐτῷ κύκλου, κέντρον τοῦ ἔξωθεν
us lower limit of-the in it circle (the)-center of-the from-outside
περιηγμένου. Διπλασίως δὲ ὑπάρχων οὗτος τὴν διάμετρον,
drawn-round double and being this(-one) in-the diameter
ἀναφαίνεται γεωμετρικαῖς ἀποδείξεσιν, ὀκταπλασίαν εἶναι
is-shown by-geometric demonstrations eightfold to-be
τὴν σφαῖραν, ἧς ἡ διάμετρος διπλασία τῆς ἐχούσης τὴν
the sphere whose the diameter (is)-double of-the having the
ἡμίσειαν διάμετρον σφαίρας· συμβαίνει γε μὴν τὸ ὄγδοον
half diameter sphere it-follows indeed surely the eighth
τῆς ὑγρᾶς ταύτης σφαίρας, ἀναμὶξ ἐμπεριειλῆφθαι τῇ γῇ,
of-the wet this sphere mingled to-be-enclosed in-the earth
δι᾽ ὃ καὶ πηγαὶ παρ᾽ αὐτῆς ἀναῤῥήγνυνται πλεῖσται,
because-of which also springs from it burst-forth very-many
καὶ ποταμῶν ἀναδίδοται δαψιλέστατα καὶ ἀένναα ῥεύματα,
and of-rivers are-sent-up most-abundantly and ever-flowing streams
καὶ θαλασσῶν οὐκ ὀλίγων ἐγχέονται ταύτῃ κόλποι, καὶ
and of-seas not few are-poured-into it gulfs and
λιμναίων ὑδάτων ἀναχέονται πλήθη. Καὶ οὐκ ἔστι σχεδὸν
of-marshy waters are-poured-out multitudes and not there-is almost
οὗ τῆς γῆς ὀρύξας τις, οὐχ ὑποῤῥέον ὕδωρ εὑρήσει.
where of-the earth having-dug anyone not flowing-beneath water will-find

14 Πλὴν τῆς καθ᾽ ἡμᾶς οἰκουμένης μηδεμίαν ἑτέραν
except the according-to us inhabited(-world) none other
εἶναι, καὶ τὸ διάγραμμα καὶ ὁ λόγος διδάσκει. Καθάπερ
to-be both the diagram and the reasoning teaches just-as
γὰρ εἰ τὸ αὐτὸ κέντρον γῆς τε καὶ ὕδατος ὑπῆρχεν,
for if the same center of-earth both and of-water there-were
ἦν ἂν ἡ γῆ πᾶσι παντάπασιν ἀοίκητος, οὕτω
would-be — the earth for-all altogether uninhabited thus
καὶ πολλῷ μᾶλλον, εἰ κέντρον ἔχει τὸ ὕδωρ τὸ τῆς
also by-much more if (the)-center has the water the of-the
γῆς ὡς πρὸς ἡμᾶς κατώτατον πέρας, πλὴν τῆς
earth as in-relation-to us lowest limit except the
καθ᾽ ἡμᾶς οἰκουμένης, ἣ τῷ ἄνω τῆς ἐκείνου
according-to us inhabited(-world) which to-the upper(-part) of-the its
σφαίρας ἐναρμόζεται· τ᾽ ἄλλα πάντα πολλῷ τῷ ὕδατι
sphere is-fitted the rest all by-much the water
περικλυζόμενα, κατοικεῖσθαι ἀδυνάτως ἔχει. Ἐπεὶ μόνης δὲ
flooded to-be-inhabited unable is since alone and
τῆς κατὰ τὴν γῆν οἰκουμένης, λογικὴν ψυχὴν ἐνσώματον
of-the according-to the earth inhabited(-world) rational soul embodied
εἶναι προαναπέφηνεν, ἥτις μία οὖσα, νῦν ἡ καθ᾽ ἡμᾶς
to-be has-been-shown-before which one being now the according-to us
αὕτη μόνη προαναπέφηνεν· ἀκόλουθον οὖν ἐν ταύτῃ μόνῃ,
this alone has-been-shown-before consistent(-it-is) then in this alone
καὶ τῶν ἀλόγων ζώων κατοικεῖν τὰ χερσαῖα.
also of-the irrational living-creatures to-dwell the land(-ones)

15 Ἐκ τῶν χρωμάτων, καὶ τῶν σχημάτων πολυειδῶς
from the colors and the shapes manifoldly
διακειμένων, μορφοῦται ἡ ὄψις· ἡ δὲ ὄσφρησις ἐκ τῶν
disposed is-formed the sight the and smell from the
ἀτμῶν· γεῦσις δὲ ἐκ τῶν χυμῶν, ἐκ δὲ τῶν ψόφων
vapors taste and from the flavors from and the sounds

ἡ ἀκοή· ἡ δὲ ἁφὴ ἐκ τῶν τραχέων, ἢ λείων
the hearing the and touch from the rough or smooth(-things)
κατὰ τὴν θέσιν. Αἱ δὲ κατὰ τὰς αἰσθήσεις ἐγγινόμεναι
according-to the position the and in the senses arising
μορφώσεις, ἐκ σωμάτων μέν εἰσιν, ἀλλ᾽ οὐ σώματά εἰσιν,
formings from bodies indeed are but not bodies they-are
εἰ καὶ σωματικαί· οὐ γὰρ ἁπλῶς ἐκ σωμάτων εἰσίν, ἀλλ᾽
if even bodily not for simply from bodies they-are but
ἐκ τῶν κατὰ τὰ σώματα εἰδῶν. Ἀλλ᾽ οὐδ᾽ αὐτά εἰσι
from the in the bodies forms but not-even themselves are-they
τὰ τῶν σωμάτων εἴδη, ἀλλὰ τὰ ἐκτυπώματα αὐτῶν,
the of-the bodies forms but the impressions their
καὶ οἷόν τινες εἰκόνες ἀχωρίστως χωριζόμεναι τῶν
and as-it-were some images inseparably separated from-the
κατὰ τὰ σώματα εἰδῶν· καὶ τοῦτο δῆλον μᾶλλον ἐκ τῆς
in the bodies forms and this (is)-clear rather from the
ὄψεως, καὶ μάλιστα ἐκ τῶν δι᾽ ἐσόπτρων ὁρωμένων.
sight and especially from the(-things) through mirrors seen
Τὰ γοῦν κατὰ τὰς αἰσθήσεις ἐκμαγεῖα ταῦτα, τὸ τῆς ψυχῆς 16
the then in the senses impressions these the of-the soul
φανταστικὸν ἐκ τῶν αἰσθήσεων οὐ προσοικειούμενον, οὐκ
imaginative(-part) from the senses not appropriating not
αὐτὰς τὰς αἰσθήσεις, ἀλλὰ τὰς ἐν αὐτοῖς, ἃς ἔφημεν,
the-very the senses but the in them which we-said
εἰκόνας, τελέως χωρίζει τῶν σωμάτων, καὶ τῶν κατ᾽
images perfectly separates from-the bodies and from-the in
αὐτὰ εἰδῶν· καὶ ἐναποκειμένας ἔχει καθάπερ θησαυρούς,
them forms and stored has(-them) like treasures
ἄλλοτε ἄλλην καὶ μὴ παρόντος σώματος, πρὸς
at-one-time another(-at-another) even not present (a)-body for
χρῆσιν οἰκείαν ἔνδοθεν καταλλήλως προβαλλόμενον, ὁρατά
use own from-within correspondingly putting-forth visible

τε καθιστῶν ἑαυτὰ ἅπαντα, καὶ τὰ ἀκουστά, καὶ τὰ
both setting themselves all and the audible and the
γευστά, καὶ τὰ ὀσφραντά, καὶ τὰ ἁπτά.
tastable and the smellable and the tangible

17 Τοῦτο δὴ τὸ τῆς ψυχῆς φανταστικόν, ἐν τῷ λογικῷ
this indeed the of-the soul imaginative(-part) in the rational
ζώῳ, νοῦ καὶ αἰσθήσεως μεθόριον γίνεται. Τὰς
living-being of-mind and of-sensation (the)-borderland becomes the
γοῦν ἐν αὐτῷ παρὰ τῶν αἰσθήσεων προσειλημμένας
then in it from the senses taken-in
εἰκόνας, ὡς κεχωρισμένας σωμάτων, καὶ ἀσωμάτους ἤδη
images as separated from-bodies and bodiless already
γεγενημένας καθορῶν, καὶ περιστρέφων ὁ νοῦς, ποικίλους
having-become looking-upon and turning-about the mind varied
καὶ τοὺς λογισμοὺς ἀπεργάζεται, διαλογιζόμενός τε καὶ
also the thoughts produces reasoning-through both and
ἀναλογιζόμενος, καὶ συλλογιζόμενος πολυειδῶς, ἐμπαθῶς,
reckoning-up and inferring manifoldly passionately
ἀπαθῶς, μέσως, πεπλανημένως τε καὶ ἁπλανῶς, ἀφ' ὧν
dispassionately midway erroneously both and unerringly from which
αἱ πλεῖσται ἀρεταὶ καὶ κακίαι, εὐδοξίαι τε καὶ κακοδοξίαι
the most virtues and vices good-opinions both and false-opinions
τίκτονται. Ἐπεὶ γὰρ οὐ πᾶς τῷ νῷ λογισμὸς ἐκ
are-born since for not every in-the mind thought (is)-from
τούτων καὶ περὶ τούτων, ἀλλ' ἔστιν ἅ τις ἂν
these and about these but there-are(-things) which one —
εὕροι καὶ τῶν αἰσθήσει μὴ δυναμένων ὑποπίπτειν,
might-find even of-the(-things) by-sensation not able to-fall-under
ὑπὸ τοῦ νοῦ τῷ λογισμῷ διδόμενα, διὰ τοῦτ' ἔφην
by the mind to-the thinking given because-of this I-said

μὴ πᾶσαν ἀλήθειαν ἢ πλάνην, καὶ ἀρετὴν ἢ κακίαν ἐν
not all truth or error and virtue or vice in
τοῖς λογισμοῖς ἀπὸ φαντασίας ἔχειν τὴν ἀρχήν.
the thoughts from imagination to-have the beginning
Σφόδρα θαυμάζειν ἄξιον καὶ κατασκοπεῖν πῶς ἀπὸ 18
greatly to-wonder (it-is)-worthy and to-consider how from
τῶν προσκαίρων καὶ αἰσθητῶν μόνιμον ἐγγίνεται τῇ
the temporary and sensible(-things) abiding arises in-the
ψυχῇ κάλλος ἢ αἶσχος, πλοῦτος ἢ πενία, δόξα ἢ ἀδοξία·
soul beauty or ugliness wealth or poverty glory or ingloriousness
καὶ ἁπλῶς ἢ νοητὸν φῶς, ζωῆς αἰωνίου παρεκτικόν,
and simply either intelligible light of-life eternal bestowing
ἢ νοητὸν καὶ κολαστήριον σκότος.
or intelligible and punishing darkness
Τῷ φανταστικῷ τῆς ψυχῆς ἐποχούμενος ὁ νοῦς, καὶ ταῖς 19
on-the imaginative(-part) of-the soul riding the mind and with-the
αἰσθήσεσι διὰ τούτου συγγινόμενος, σύμμικτον ἀπογεννᾷ
senses through this consorting mixed begets
τὴν γνῶσιν. Εἰ γάρ τις αἰσθητῶς προσίδοι δυομένῳ τῷ
the knowledge if for anyone sensibly look-at setting the
ἡλίῳ, τηνικαῦτα δὲ καὶ τὴν σελήνην παρεπομένην μέρει
sun then and also the moon following in-the-part
τῷ τετραμμένῳ πρὸς τὸν ἥλιον, εἶτα κατὰ μικρόν τε
the(-one) turned toward the sun then by little both
ἀφισταμένην ἐν ταῖς ἐφεξῆς ἡμέραις, καὶ φωτιζομένην
departing in the following days and illumined
μᾶλλον, μέχρις ἂν γένοιτο καταντικρύ· πάλιν δὲ κατὰ
more until — it-come-to-be opposite again and by
μικρὸν ἐγγίζουσαν θατέρῳ μέρει, καὶ τὸ φῶς μᾶλλον
little drawing-near on-the-other side and the light more
καὶ μᾶλλον μειουμένην, καὶ ἀποτιθεμένην, ὅθεν τὴν ἀρχὴν
and more diminishing and laying-aside whence the beginning

ἔλαβε τοῦ φωτισμοῦ, ταύτας διὰ τοῦ νοῦ σημειωσάμενος
it-took of-the illumination these through the mind having-noted
τὰς θέας, ὡς τὰς μὲν προλαβούσας ἐν τῇ φαντασίᾳ
the sights as the(-ones) indeed preceding in the imagination
ἔχων, τὴν δ' ἀεὶ παροῦσαν ἐπὶ τῆς αἰσθήσεως· συνῆκεν
having the(-one) and always present in the sensation he-understood
ἐξ αἰσθήσεως καὶ φαντασίας καὶ νοήσεως, ἐξ ἡλίου
from sensation and imagination and thinking from (the)-sun
μὲν τὸ φῶς ἔχειν τὴν σελήνην, προσγειότερον δὲ τὸν
indeed the light to-have the moon nearer-the-earth and the
ταύτης εἶναι πόλον, καὶ πολλῷ τοῦ ἡλιακοῦ κατώτερον.
of-it to-be orbit and much than-the solar lower
Οὐ τὰ κατὰ τὴν σελήνην μόνον, ἀλλὰ καὶ τὰ
not the(-things) about the moon only but also the(-things)
κατὰ τὸν ἥλιον, τάς τε κατ' αὐτὸν ἐκλείψεις; καὶ τοὺς
about the sun the both about it eclipses and the
κατ' αὐτὰς συνδέσμους, τῶν τε ἄλλων κατ' οὐρανὸν
in them conjunctions of-the both other in heaven
πλανήτων τὰς παραλλάξεις τε καὶ διαστάσεις, καὶ τοὺς
planets the parallaxes both and distances and the
κατ' αὐτὰς πολυειδεῖς σχηματισμούς, καὶ ἁπλῶς ὅσα
in them manifold configurations and simply as-much-as
τῶν κατ' οὐρανὸν ἴσμεν, πρὸς δέ, καὶ φύσεως λόγους,
of-the(-things) in heaven we-know besides and also of-nature reasons
μεθόδους τε καὶ τέχνας πάσας, καὶ ἁπλῶς, πάντων
methods both and arts all and simply of-all
πᾶσαν γνῶσιν τὴν ἐκ μερικῶν συνηγμένην καταλήψεων,
all knowledge the from partial gathered apprehensions
ἐξ αἰσθήσεως καὶ φαντασίας συνειλόχαμεν διὰ τοῦ νοῦ,
from sensation and imagination we-have-collected through the mind

καὶ οὐδεμία ποτ᾽ ἂν κληθείη πνευματική, φυσικὴ δὲ
and none ever — could-be-called spiritual natural but
μᾶλλον, ἢ μηδὲ χωρεῖ τὰ τοῦ πνεύματος.
rather which not-even contains the(-things) of-the spirit
Πόθεν ἐμάθομεν περὶ Θεοῦ; πόθεν περὶ τοῦ κόσμου παντός; 21
whence did-we-learn about God whence about the world whole
πόθεν περὶ ἡμῶν αὐτῶν βέβαιόν τι καὶ ἀψευδές; Οὐκ
whence about us ourselves certain anything and unlying (was-it)-not
ἐκ τῆς τοῦ Πνεύματος διδασκαλίας; αὕτη γὰρ ἡμᾶς ἐδίδαξε
from the of-the Spirit teaching this for us taught
Θεὸν εἶναι μόνον τὸν ὄντως ὄντα, καὶ ἀεὶ ὄντα, καὶ
God to-be alone the(-one) truly being and always being and
ἀμετάβλητον ὄντα, μήτε ἐκ μὴ ὄντων τὸ εἶναι λαβόντα,
unchangeable being neither from not being(-things) the being having-taken
μήτε πρὸς τὸ μὴ ὂν ἀπιόντα· καὶ τοῦτον τρισυπόστατον
nor toward the not being departing and him three-hypostatic
εἶναι καὶ παντοδύναμον· ὃς ἐν ἓξ ἡμέραις, λόγῳ, ἐκ μὴ
to-be and almighty who in six days by-word from not
ὄντων τὰ ὄντα παρήγαγεν· ἀθρόον δὲ μᾶλλον, ὡς ὁ
being(-things) the being(-things) brought-forth all-at-once and rather as —
Μωϋσῆς φησιν, ὑπεστήσατο. «Ἐν ἀρχῇ γὰρ ἐποίησεν ὁ
Moses says be-established in (the)-beginning for made —
Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν,» τούτου λέγοντος ἀκηκόαμεν·
God the heaven and the earth him saying we-have-heard
οὐ διάκενον πάντως, οὐδ᾽ ἄνευ πάντη τῶν μεταξὺ πάντων.
not empty by-all-means nor without altogether the between all(-things)
Ὕδατι μὲν γὰρ ἀναμὶξ ἦν ἡ γῆ, κυοφόρον δ᾽ ἑκάτερον,
with-water indeed for mingled was the earth pregnant and each
ἀέρος τε καὶ τῶν κατ᾽ εἶδος ζώων τε καὶ φυτῶν· ὁ δὲ
of-air both and of-the in kind living-creatures both and plants the and
οὐρανὸς τῶν διαφόρων φώτων τε καὶ πυρῶν ἐν οἷς καὶ τὸ
heaven of-the various lights both and fires in which also the

σύμπαν ὑφέστηκεν. Οὕτως οὖν ὁ Θεὸς ἐποίησεν ἐν ἀρχῇ
universe subsists thus then — God made in (the)-beginning
τὸν οὐρανὸν καὶ τὴν γῆν, οἷόν τινα ὕλην πανδεχῆ, καὶ δυνάμει
the heaven and the earth like some matter all-receiving and in-potency
τὰ πάντα φέρουσαν, καλῶς πόῤῥωθεν ἀποῤῥαπίζων τοὺς
the all bearing well from-afar repelling the(-ones)
καθ' ἑαυτὴν προϋφεστηκέναι τὴν ὕλην κακῶς νομίζοντας.
by itself to-have-preexisted the matter wrongly supposing
22 Μετὰ τοῦτο καλλιεργῶν ὥσπερ, καὶ τὸν κόσμον ἐπικοσμῶν,
after this cultivating as-it-were and the world adorning
ὁ τὰ πάντα ἐκ μὴ ὄντων παραγαγών, τὴν οἰκείαν
the(-one) the all from not being(-things) having-brought-forth the own
ἑκάστῳ καὶ κατάλληλον τάξιν τῶν προσόντων αὐτῷ,
to-each and fitting order of-the(-things) belonging to-it
καὶ συμπληρούντων τὸν αὐτοῦ κόσμον, ἐν ἓξ ἡμέραις
and completing the his world in six days
διένειμε, διακρίνων ἕκαστον προστάγματι μόνῳ, καὶ καθάπερ
distributed distinguishing each by-command alone and as-if
ἐκ θησαυρῶν ἀποθέτων ἐξάγων εἰς εἶδος τὰ ἐντεθέντα,
from treasures stored-away bringing-out into form the(-things) put-in
διατιθείς τε καὶ συντιθεὶς ἐναρμονίως, ἄκρως, καὶ προσφυῶς
arranging both and composing harmoniously extremely and aptly
ἄλλο πρὸς ἄλλο τούτων, ἕκαστόν τε πρὸς πάντα, καὶ
one(-thing) to another of-these each both to all and
πρὸς ἕκαστον ἅπαντα, καὶ τῇ μὲν ἀκινήτῳ γῇ καθάπερ
to each all and to-the indeed immovable earth as-to
τινὶ κέντρῳ, περιτιθεὶς ἀνωτάτω κύκλῳ, καὶ συνδῶν
some center placing-round highest in-a-circle and binding(-it)
πανσόφως διὰ τῶν μέσων τὸν ἀεικίνητον οὐρανόν· ἵν'
all-wisely through the middle(-things) the ever-moving heaven that
ὁ αὐτὸς διαμένῃ κόσμος ἑστὼς ὁμοῦ καὶ κινούμενος. Πάντῃ
the same remain world standing at-once and moving everywhere

γὰρ κύκλῳ τῶν ἀεικινήτων καὶ ταχυκινήτων ἄγαν σωμάτων
for in-a-circle the ever-moving and swift-moving very bodies
περιτεθέντων, τὸ ἀκίνητον ἐξ ἀνάγκης τὴν μέσην ἔλαχε
having-been-placed-round the immovable of necessity the middle received
χώραν, ἀντίῤῥοπον τῇ κινήσει τὴν στάσιν ἔχον, ὡς μὴ
place counterbalancing to-the movement the rest having so-as not
μεταχωρεῖν κυλίνδρου δίκην τὴν παγκόσμιον σφαῖραν.
to-shift of-a-cylinder like the universal sphere
Τοιαύτην τοίνυν ὁ ἀριστοτέχνης, τῶν τοῦ παντὸς περάτων 23
such therefore the best-craftsman of-the of-the all limits
ἑκατέρῳ νείμας τὴν θέσιν, τὸν σύμπαντα τοῦτον
to-each having-assigned the position the whole this
εὐκόσμως, ὡς εἰπεῖν, κόσμον, καὶ ἔπηξε καὶ ἐκίνησε· τῶν
in-good-order so-to speak world both fixed and moved of-the
δὲ μεταξὺ τῶν περάτων τούτων, διανέμει πάλιν τὸ
and between the limits these he-distributes again the(-thing)
προσῆκον ἑκάστῳ. Καὶ τὰ μὲν ἄνω τάττει, καὶ
fitting to-each and the(-things) indeed above he-places and
μετεωροπολεῖν ἐπιτάττει, καὶ συμπεριπολεῖν τῷ ἀνωτάτω
to-move-aloft commands and to-circle-with the highest
τοῦ παντὸς ὅρῳ, συνετῶς καὶ κοσμίως εὖ μάλα τὸν αἰεὶ
of-the all limit intelligently and orderly well very the always
χρόνον· ὅσα κοῦφα καὶ δραστικά, καὶ μετασκευαστικὰ
time as-many-as (are)-light and active and transforming
πρὸς τὸ χρήσιμον τῶν ὑποκειμένων ἐστί. Τοσοῦτον
toward the useful of-the underlying(-things) are so-far
ὑπερανεστηκότα τοῦ μέσου συνετῶς ἄγαν, ὡς καὶ τὴν ἐν
raised-above the middle intelligently very so-as also the in
τούτῳ τοῦ ψύχους ἀμετρίαν ἀποχρώντως θραύειν ἔχειν
this of-the cold excess sufficiently to-break to-have
περιημμένα, καὶ τὴν οἰκείαν τῆς θερμότητος ἀμετρίαν ἐπὶ
encircled and the own of-the heat excess in

χώρας κατέχειν· ἐπέχειν δέ πως καὶ τὴν ἀμετρίαν τῆς
place to-hold to-check and somehow also the excess of-the
φορᾶς τῶν ἀνωτάτω περάτων, ἀντιστρόφως ἰδίως αὐτὰ
motion of-the highest limits contrariwise peculiarly they
κινούμενα, καὶ κατέχειν ἐπὶ χώρας κἀκεῖνα διὰ τῆς
moving and to-hold in place those-also through the
ἀντιστρόφου περιστροφῆς, ἡμῖν τε παρέχειν ἐνιαυσιαίων
contrary revolution to-us both to-provide of-yearly
πολυωφελεῖς διαφορὰς ὡρῶν, χρονικῶν τε διαστημάτων
very-useful differences of-seasons of-time both intervals
μέτρα, καὶ τοῦ κτίσαντος καὶ τάξαντος καὶ κοσμήσαντος
measures and of-the having-created and having-ordered and having-adorned
Θεοῦ τοῖς συνιεῖσι γνῶσιν. Τὰ μὲν οὖν ἐν μετεώρῳ
God to-the(-ones) understanding knowledge the(-things) indeed then in (the)-air
καὶ ἀνωτέρω πολυστρόφως οὕτω περιχορεύειν διττῶς ἀφῆκε,
and higher manifoldly thus to-dance-round doubly he-let-go
κάλλους τε παγκοσμίου χάριν, καὶ ὠφελείας πολυειδοῦς·
of-beauty both universal for-the-sake and of-benefit manifold
τὰ δ' ἄλλα κάτω καὶ περὶ τὸ μέσον ἔθηκεν, ὅσα
the(-things) and others below and about the middle he-set as-many-as
βάρος ἔχει καὶ παθητὰ τὴν φύσιν ἐστί, γίνεσθαί τε καὶ
weight have and passible the nature are to-come-to-be both and
μεταγίνεσθαι πέφυκε, διακρινόμενά τε καὶ συγκρινόμενα,
to-change are-wont separated both and combined
καὶ πάσχοντα μᾶλλον μεταβάλλειν πρὸς εὐχρηστίαν, κατὰ
and acted-upon rather to-change toward usefulness in
κόσμον ὑποτιθεὶς καὶ ταῦτα καὶ τὸν πρὸς ἄλληλα
order placing-under both these and the in-relation-to one-another
λόγον, ἵν' ἐτύμως ἔχῃ καλεῖσθαι κόσμος τὸ πᾶν.
relation that truly it-may to-be-called (a)-world the all

Οὕτω δὴ πρῶτόν τι τῶν ὄντων ἐν τῇ κτίσει 24
thus indeed first something of-the(-things) being in the creation
παρήχθη, καὶ μετὰ τὸ πρῶτον ἕτερον· καὶ μετ᾽ αὐτὸ πάλιν
was-brought-forth and after the first another and after it again
ἄλλο, καὶ ἐφεξῆς, καὶ μετὰ πάντα ὁ ἄνθρωπος. Ὃς τιμῆς
another and in-order and after all the man who of-honor
τῆς παρὰ τοῦ Θεοῦ καὶ προμηθείας τοσαύτης ἠξίωται,
the from — God and forethought so-great has-been-deemed-worthy
ὡς καὶ τὸν αἰσθητὸν τοῦτον ἅπαντα κόσμον πρὸ αὐτοῦ
so-that also the sensible this whole world before him
γενέσθαι δι᾽ αὐτόν. Καὶ τὴν τῶν οὐρανῶν βασιλείαν, εὐθὺς
come-to-be for him and the of-the heavens kingdom at-once
ἀπὸ καταβολῆς κόσμου δι᾽ αὐτὸν ἑτοιμασθῆναι, πρὸ αὐτοῦ,
from (the)-foundation of-(the)-world for him be-prepared before him
καὶ βουλὴν περὶ αὐτοῦ προηγήσασθαι, καὶ χειρὶ Θεοῦ, καὶ
and counsel about him precede and by-hand of-God and
κατ᾽ εἰκόνα πλασθῆναι Θεοῦ, καὶ μὴ τὸ πᾶν σχεῖν ἐκ
according-to (the)-image he-be-fashioned of-God and not the whole to-have from
τῆς ὕλης ταύτης καὶ τοῦ κατ᾽ αἴσθησιν κόσμου, καθάπερ τ᾽
the matter this and the in sensation world just-as the
ἄλλα τῶν ζώων· ἀλλὰ τὸ σῶμα μόνον· τὴν δὲ ψυχήν,
other of-the living-creatures but the body only the and soul
ἐκ τῶν ὑπερκοσμίων, μᾶλλον δὲ παρ᾽ αὐτοῦ τοῦ Θεοῦ δι᾽
from the super-cosmic(-things) rather but from the-very — God through
ἐμφυσήματος ἀπορρήτου, ὡς μέγα τι καὶ θαυμαστόν,
inbreathing ineffable as great something and wonderful
καὶ τοῦ παντὸς ὑπερέχον, καὶ τὸ πᾶν ἐποπτεῦον,
and than-the all surpassing and the all overseeing
καὶ τοῖς πᾶσιν ἐπιστατοῦν, καὶ Θεοῦ γνωστικὸν
and over-the all presiding and of-God capable-of-knowing
ἅμα καὶ δεκτικόν, καὶ δεικτικὸν παντὸς μᾶλλον τῆς
at-once and receptive and showing of-all rather of-the

ὑπερανῳκισμένης τοῦ τεχνίτου μεγαλειότητος ἀποτέλεσμα,
set-high of-the craftsman greatness (a)-masterpiece
καὶ μὴ ὅτι Θεοῦ δεκτικὸν δι᾽ ἀγῶνος καὶ χάριτος, ἀλλὰ
and not only of-God receptive through struggle and grace but
καὶ δυνατὸν ἑνωθῆναι τούτῳ κατὰ μίαν ὑπόστασιν.
also able to-be-united to-him according-to one hypostasis
Ταῦτα καὶ τὰ τοιαῦτα, ἐν οἷς ἐστιν ἡ ἀληθὴς
these(-things) and the(-things) such in which is the true
σοφία καὶ ἡ σωτήριος γνῶσις ἡ τῆς ἄνω μακαριότητος
wisdom and the saving knowledge the of-the above blessedness
πρόξενος. Τίς δ᾽ Εὐκλείδης; τίς Μαρῖνος; τίς Πτολομαῖος
procuring what but Euclid what Marinus what Ptolemy
συνιδεῖν ἠδυνήθη; τίνες Ἐμπεδοκλεῖς, καὶ Σωκράται,
to-perceive was-able what Empedocleses and Socrateses
καὶ Ἀριστοτέλεις, καὶ Πλάτωνες, λογικαῖς μεθόδοις, ἢ
and Aristotles and Platos by-logical methods or
μαθηματικαῖς ἀποδείξεσι; μᾶλλον δὲ ποία αἴσθησις
mathematical demonstrations rather but what-sort-of sensation
ἀντελάβετο τῶν τοιούτων; ποῖος ἐπέβαλε νοῦς; Εἰ δὲ
grasped the such(-things) what attained mind if but
ἐκείνοις τοῖς φύσει φιλοσοφοῦσι, καὶ τοῖς κατ᾽ ἐκείνους,
to-those the by-nature philosophizing and to-the(-ones) after them
χαμαίζηλος ἔδοξεν ἡ κατὰ πνεῦμα σοφία, κἀντεῦθεν
low-aiming seemed the according-to spirit wisdom from-this-also
τὸ καθ᾽ ὑπερβολὴν ὑπερέχον αὐτῆς παρίσταται· σχεδὸν
the to excess surpassing its is-shown almost
γάρ, ὡς τὰ ἄλογα τῶν ζώων, πρὸς τὴν ἐκείνων
for as the irrational of-the living-creatures in-relation-to the their
σοφίαν ἔχουσιν (εἰ δὲ βούλει, καθάπερ τὰ παιδάρια, οἷς
wisdom are if but you-wish as the little-children to-whom
κρείττονες δόξαιεν ἂν οἱ μετὰ χεῖρας πλακοῦντες τοῦ
better would-seem — the in hands cakes than-the

βασιλικοῦ διαδήματος), ἢ καὶ τοῖς ἐκείνοις ἐγνωσμένων
royal diadem or even to-the to-those known
ἁπάντων· οὕτως ἔχουσιν οὗτοι πρὸς τὴν ἀληθῆ καὶ
all(-things) thus are these in-relation-to the true and
ὑπερανῳκισμένην σοφίαν καὶ διδασκαλίαν τοῦ Πνεύματος.
set-high wisdom and teaching of-the Spirit
Οὐ μόνον δὲ τὸ γινώσκειν κατὰ τὸ ἐγχωροῦν ἐν 26
not only and the to-know as-far-as the possible in
ἀληθείᾳ Θεόν, ἀσυγκρίτως κρεῖττον τῆς καθ' Ἕλληνας
truth God incomparably better than-the among (the)-Greeks
φιλοσοφίας ἐστίν, ἀλλὰ καὶ μόνον τὸ εἰδέναι τίνα τόπον
philosophy is but also only the to-know what place
ἔχει ὁ ἄνθρωπος παρὰ τῷ Θεῷ, πᾶσαν ὑπερβαίνει
has the man with — God all surpasses
τὴν κατ' ἐκείνους σοφίαν· μόνος γὰρ ἁπάντων
the according-to them wisdom alone for of-all
ἐπιγείων τε καὶ οὐρανίων ἐκτίσθη κατ' εἰκόνα τοῦ
earthly both and heavenly(-things) he-was-created according-to (the)-image of-the
πλάσαντος, ὡς πρὸς ἐκεῖνον ὁρῴη, καὶ αὐτὸν
(one)-having-fashioned(-him) that toward that(-one) he-might-look and him
ἀγαπῴη, κἀκείνου μόνου μύστης καὶ προσκυνητὴς εἴη,
might-love and-of-that(-one) alone initiate and worshiper might-be
καὶ τῇ πρὸς αὐτὸν πίστει καὶ νεύσει καὶ διαθέσει, τὴν
and by-the toward him faith and inclination and disposition the
οἰκείαν καλλονὴν συντηροίη, πάντα δὲ τ' ἄλλα ὅσα
own beauty might-preserve all and the other(-things) as-many-as
γῆ καὶ οὐρανὸς ὅδε φέρει, κατώτερα ἑαυτοῦ εἰδείη,
earth and heaven this bears lower than-himself might-know
καὶ νοῦ παντάπασιν ἄμοιρα. Ὅπερ οἱ καθ' Ἕλληνας
and of-mind altogether without-share which the among (the)-Greeks
σοφοὶ μηδοπωσοῦν συνιδεῖν δυνηθέντες, ἠτίμωσαν τὴν
wise in-no-way-whatever to-perceive having-been-able dishonored the

καθ᾽ ἡμᾶς φύσιν, ἠσέβησαν εἰς Θεόν, ἐσεβάσθησαν
according-to us nature were-impious toward God revered
καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, τοῖς
and served the creation beside the(-one) having-created to-the
αἰσθητοῖς καὶ ἀναισθήτοις ἄστρασι νοῦν περιθέντες, καὶ
sensible and insensible stars mind having-attributed and
τούτων ἑκάστῳ τοῦ κατὰ σῶμα μεγέθους ἀνάλογον ἐν
of-these to-each the in body magnitude proportionate in
δυνάμει καὶ ἀξιώματι· καὶ ταῦτα ἀθλίως σεβόμενοι, καὶ
power and dignity and them wretchedly revering and
θεοὺς μείζους τε καὶ ἐλάττους προσαγορεύσαντες, τὴν
gods greater both and lesser having-called the
κυριότητα τοῦ παντὸς ἐπέτρεψαν. Ἆρ᾽ οὐκ ἐκ τῶν
lordship of-the all they-entrusted (did)-then not from the
αἰσθητῶν οὗτοι, καὶ τῆς κατὰ ταῦτα φιλοσοφίας, αἶσχος
sensible(-things) these and of-the about them philosophy shame
καὶ ἀδοξίαν, καὶ πενίαν ἐσχάτην ταῖς οἰκείαις ψυχαῖς
and dishonor and poverty utmost on-the own souls
προσετρίψαντο, καὶ νοητὸν ὄντως καὶ κολαστήριον σκότος;
rubbed-on and intelligible truly and punishing darkness

27 Τὸ κατ᾽ εἰκόνα γεγονότας ἡμᾶς αὐτοὺς εἰδέναι τοῦ
the according-to (the)-image having-been-made us ourselves to-know of-the
κτίσαντος, οὐδὲ τὸν νοητὸν κόσμον θεοποιεῖν συγχωρεῖ.
(one)-having-created not-even the intelligible world to-deify allows
Τὸ γὰρ κατ᾽ εἰκόνα τοῦτο, οὐχ ἡ τοῦ σώματος ἔχει
the for according-to (the)-image this not the of-the body has
θέσις, ἀλλ᾽ ἡ τοῦ νοῦ πάντως φύσις, οὗ μηδὲν κατὰ
position but the of-the mind by-all-means nature than-which nothing according-to
φύσιν κρεῖττον. Εἰ γὰρ ἦν τι κρεῖττον, ἐν ἐκείνῳ
nature (is)-better if for there-were anything better in that
ἂν ὑπῆρχε τὸ κατ᾽ εἰκόνα. Ἐπεὶ δὲ τὸ ἐν ἡμῖν κρεῖττον
— would-be the according-to (the)-image since and the in us better

ὁ νοῦς, τοῦτο δὲ εἰ καὶ κατ᾽ εἰκόνα θείαν, ἐκτίσθη
(is)-the mind this and if even according-to (the)-image divine was-created
δ᾽ οὖν ὅμως ὑπὸ Θεοῦ· τί ποτ᾽ ἄρα δυσχερὲς συνιδεῖν,
but then nevertheless by God what ever then hard to-perceive
μᾶλλον δέ, πῶς οὐκ αὐτόθεν κατάδηλον, ὡς ὁ ποιητὴς τοῦ
rather but how not at-once clear that the maker of-the
καθ᾽ ἡμᾶς νοεροῦ, ἐκεῖνος καὶ παντὸς νοεροῦ ποιητής
according-to us intellectual that(-one) also of-every intellectual (the)-maker
ἐστι; Σύνδουλος οὐκοῦν ἡμῖν πᾶσα νοερὰ φύσις, καὶ
is (a)-fellow-servant therefore to-us (is)-every intellectual nature even
κατ᾽ εἰκόνα τοῦ κτίσαντος· εἰ καὶ ἡμῶν τιμιώτεροι,
according-to (the)-image of-the (one)-having-created if even than-us more-honored
ὡς σωμάτων ὄντες ἐκτός, καὶ τῇ ἀσωμάτῳ παντάπασι
as from-bodies being outside and to-the bodiless wholly
καὶ ἀκτίστῳ φύσει μᾶλλον ἐγγίζοντες· μᾶλλον δέ, οἱ
and uncreated nature more drawing-near rather but the(-ones)
μὲν φυλάξαντες τούτων τὴν ἑαυτῶν τάξιν, καὶ τὸ
indeed having-kept of-these the their-own order and the(-thing)
πρὸς ὃ γεγόνασι στέργοντες, εἰ καὶ ὁμόδουλοι, ἀλλ᾽
for which they-were-made loving if even fellow-servants yet
ἡμῖν τίμιοι, καὶ ἡμῶν τῇ τάξει πολλῷ τιμιώτεροι. Οἱ
to-us honored and than-us in-the order much more-honored the(-ones)
δὲ μὴ φυλάξαντες τὴν ἑαυτῶν τάξιν, ἀλλ᾽ ἀποστατήσαντες,
but not having-kept the their-own order but having-revolted
καὶ τό, πρὸς ὃ γεγόνασιν, ἀθετήσαντες, τῶν
and the(-thing) for which they-were-made having-set-aside of-the(-ones)
ἐγγιζόντων Θεῷ γεγονότες ὡς πορρώτατω, καὶ τῆς τιμῆς
drawing-near to-God having-become as farthest also from-the honor
ἐκπεπτώκασιν. Εἰ δὲ καὶ ἡμᾶς συνεπισπᾷν ἐπιχειροῦσι
have-fallen if but also us to-draw-along they-attempt

πρὸς ἔκπτωσιν, οὐκ ἀχρεῖοι καὶ ἄτιμοι μόνον, ἀλλὰ καὶ
toward falling not useless and dishonored only but also
ἀντίθεοι, καὶ ἡμῶν τῷ γένει λυμαντικοὶ καὶ πολεμιώτατοι.
opposed-to-God and of-our the race destructive and most-hostile

28 Ἀλλ' οἱ φυσιολόγοι τε καὶ ἀστροθεάμονες, καὶ τὰ
but the natural-philosophers both and star-gazers and the
πάντα εἰδέναι καυχώμενοι, μηδὲν τῶν προειρημένων ἐκ
all to-know boasting nothing of-the aforesaid from
τῆς φιλοσοφίας συνιδεῖν δυνηθέντες, καὶ τὸν ἄρχοντα τοῦ
the philosophy to-perceive having-been-able also the ruler of-the
νοητοῦ σκότους, καὶ τὰς ὑπ' αὐτὸν ἀποστατικὰς δυνάμεις
intelligible darkness and the under him apostate powers
πάσας, οὐχ ὑπὲρ ἑαυτοὺς μόνον, ἀλλὰ καὶ θεοὺς ὠνόμασαν,
all not above themselves only but also gods named
καὶ ναοῖς ἐτίμησαν, καὶ θυσίας αὐτοῖς προσήνεγκαν, καὶ
and with-temples honored and sacrifices to-them offered and
ἑαυτοὺς ὑπέταξαν τοῖς πανωλέθροις ἐκείνων θεσπίσμασιν,
themselves subjected to-the all-destructive their oracles
ὑφ' ὧν ἐνεπαίχθησαν εἰκότως ἐπὶ πολύ, δι' ἱερῶν
by which they-were-mocked fittingly for long through rites
ἀνιέρων, καὶ καθαρμῶν μολυνόντων, καὶ προστιθέντων
unholy and purifications defiling and adding
τὴν ἐξάγιστον οἴησιν, καὶ προφητῶν καὶ προφητίδων,
the accursed conceit and of-prophets and prophetesses
τῆς ὄντως ἀληθείας ἀποβουκολούντων ὡς πορρώτατα.
from-the really truth leading-astray as farthest

29 Οὐ τὸ εἰδέναι μόνον Θεόν, οὐδὲ τὸ γινώσκειν τὸν ἄνθρωπον
not the to-know only God nor the to-know the man
ἑαυτόν, καὶ τὴν ἑαυτοῦ τάξιν (ἃ καὶ τοῖς νομιζομένοις
himself and the his-own order which also to-the considered
ἰδιώταις, Χριστιανοῖς οὖσι πρόσεστι νῦν), ὑψηλοτέρα γνῶσίς
unlearned Christians being belongs now higher knowledge

ἐστι φυσιολογίας καὶ ἀστρολογίας, καὶ πάσης τῆς περὶ
is than-natural-philosophy and astronomy and all the about
αὐτὰς φιλοσοφίας, ἀλλὰ καὶ τὸ εἰδέναι τὸν καθ᾽ ἡμᾶς
them philosophy but also the to-know the according-to us
νοῦν τὴν ἑαυτοῦ ἀσθένειαν, καὶ ταύτην ἰάσασθαι ζητεῖν,
mind the its-own weakness and it to-heal to-seek
πολλῷ κρεῖττον ἀσυγκρίτως ἂν εἴη τοῦ εἰδέναι καὶ
much better incomparably — would-be than-the to-know and
διερευνᾶν ἄστρων μεγέθη, καὶ φύσεων λόγους, γενέσεις τε
to-search-out of-stars magnitudes and of-natures reasons generations both
τῶν κάτω, καὶ περιόδους τῶν ἄνω, τροπάς τε
of-the(-things) below and revolutions of-the(-things) above turnings both
καὶ ἐπιτολάς, στηριγμοὺς καὶ ἀναποδισμούς, ἀποστάσεις τε
and risings stations and retrogradations distances both
καὶ συνελεύσεις, καὶ πᾶσαν ἁπλῶς τὴν ἐκ πολυκινησίας
and conjunctions and all simply the from (the)-much-movement
ἐκεῖ πολυειδεστάτην σχέσιν. Ὁ γὰρ γνοὺς τὴν ἑαυτοῦ
there most-manifold relation the for having-known the its-own
ἀσθένειαν νοῦς, εὗρεν ὅθεν ἂν εἰσέλθῃ πρὸς σωτηρίαν,
weakness mind has-found whence — it-may-enter to salvation
καὶ ἐγγίσοι τῷ φωτὶ τῆς γνώσεως, καὶ λάβῃ σοφίαν
and may-draw-near to-the light of-the knowledge and receive wisdom
ἀληθῆ, καὶ τῷ αἰῶνι τούτῳ μὴ συγκαταλυομένην.
true and with-the age this not dissolved-with
Πᾶσα λογικὴ καὶ νοερὰ φύσις, εἴτ᾽ ἀγγελικὴν εἴποι τις, 30
every rational and intellectual nature whether angelic may-say one
εἴτ᾽ ἀνθρωπίνην, οὐσίαν ἔχει ζωήν, δι᾽ ἣν καὶ διαμένει
or human (as)-essence has life because-of which also it-abides
ἐπίσης καθ᾽ ὕπαρξιν ἀθάνατος, διαφθορὰν οὐκ ἐπιδεχομένη.
equally in existence immortal corruption not admitting
Ἀλλ᾽ ἡ μὲν ἐν ἡμῖν νοερὰ καὶ λογικὴ φύσις οὐ μόνον
but the indeed in us intellectual and rational nature not only

οὐσίαν ἔχει τὴν ζωήν, ἀλλὰ καὶ τὴν ἐνέργειαν. Ζωοποιεῖ
(as)-essence has the life but also (as)-the working it-makes-alive
γὰρ τὸ συνημμένον σῶμα· δι' ὃ καὶ τούτου λέγεται
for the joined body because-of which also of-this is-called
ζωή. Πρὸς ἕτερον ἡ ζωὴ λέγεται, καὶ ἐνέργειά ἐστιν
(the)-life in-relation-to another the life is-said and (a)-working is
αὐτῆς. Πρὸς γὰρ ἕτερον, οὐδέποτ' ἂν λέγοιτο οὐσία
its in-relation-to for another never — might-be-said (an)-essence
καθ' αὐτήν. Ἡ δὲ τῶν ἀγγέλων νοερὰ φύσις, οὐχὶ καὶ
by itself the but of-the angels intellectual nature not also
ἐνέργειαν τοιαύτην ἔχει τὴν ζωήν· οὐ γὰρ συνημμένον
(as)-working such has the life not for joined
ἔλαβεν ἐκ γῆς παρὰ Θεοῦ σῶμα, ἵνα καὶ ζωοποιὸν
it-received from earth from God (a)-body that also life-giving
λάβῃ πρὸς τοῦτο δύναμιν. Δεκτικὴ μέντοι καὶ αὕτη
it-might-receive for this power receptive however also this
τῶν ἐναντίων ἐστί, κακίας δηλονότι καὶ ἀγαθότητος. Καὶ
of-the contraries is of-vice clearly and goodness and
τοῦτο παριστᾶσιν οἱ πονηροὶ τῶν ἀγγέλων, ἔκπτωσιν
this present the evil of-the angels fall
ὑποστάντες διὰ τὴν ἔπαρσιν· σύνθετοί πως τοιγαροῦν
having-undergone because-of the elation composite somehow therefore
εἰσι καὶ οἱ ἄγγελοι, ἔκ τε τῆς καθ' ἑαυτοὺς οὐσίας, καὶ
are also the angels of both the according-to themselves essence and
μιᾶς τῶν ἐναντίων ποιοτήτων, ἀρετῆς, φημί, καὶ πονηρίας.
one of-the contrary qualities virtue I-mean and wickedness
Ὅθεν δείκνυται μηδ' οὗτοι οὐσίαν ἔχοντες τὴν ἀγαθότητα.
whence it-is-shown not-even these (as)-essence having the goodness
31 Ἡ τῶν ἀλόγων ζώων ἑκάστου ψυχή, ζωή ἐστι τοῦ
the of-the irrational living-creatures of-each soul (the)-life is of-the
κατ' αὐτὴν ἐμψύχου σώματος, καὶ οὐκ οὐσίαν, ἀλλ'
according-to it ensouled body and not (as)-essence but

ἐνέργειαν ἔχει ταῦτα τὴν ζωήν, ὡς πρὸς ἕτερον οὖσαν,
(as)-working have these the life as in-relation-to another being
ἀλλ᾽ οὐ καθ᾽ αὑτήν. Αὕτη γὰρ οὐδὲν ἕτερον ἔχουσα
but not by itself this for nothing other having
ὁρᾶται, ὅτι μὴ τὰ ἐνεργούμενα διὰ τοῦ σώματος,
is-seen except — the(-things) worked through the body
δι᾽ ὃ καὶ λυομένῳ τούτῳ, συνδιαλύεσθαι ἀνάγκη·
because-of which also being-dissolved this to-be-dissolved-with (is)-necessary
θνητὴ γάρ ἐστι τοῦ σώματος οὐχ ἧττον, ἐπεὶ πᾶν
mortal for is than-the body not less since everything
ὅπερ ἔστι, πρὸς τὸ θνητὸν ἔστι τε καὶ λέγεται·
which is in-relation-to the mortal is both and is-said
δι᾽ ὃ καὶ θανόντι συναποθνήσκει.
because-of which also (it)-having-died it-dies-with(-it)
Ἡ τῶν ἀνθρώπων ἑκάστου ψυχή, ἔστι μὲν καὶ τοῦ κατ᾽ 32
the of-the men of-each soul is indeed also of-the according-to
αὐτὴν ἐμψύχου σώματος ζωή, καὶ ζωοποιὸν ἔχει τὴν
it ensouled body (the)-life and life-giving has the
ἐνέργειαν πρὸς ἕτερον, ὁρωμένην πρὸς αὐτό, δηλαδὴ
working in-relation-to another seen in-relation-to it clearly
τὸ παρ᾽ αὐτῆς ζωοποιούμενον. Ἀλλ᾽ οὐ μόνον ἐνέργειαν,
the(-thing) by it made-alive but not only (as)-working
ἀλλὰ καὶ οὐσίαν ἔχει τὴν ζωὴν ὡς ζῶσα καθ᾽ αὑτήν.
but also (as)-essence has the life as living by itself
Ἔχουσα γὰρ ὁρᾶται τὴν λογικὴν καὶ νοερὰν ζωήν, φανερῶς
having for it-is-seen the rational and intellectual life manifestly
ἑτέραν οὖσαν παρὰ τὴν τοῦ σώματος, καὶ τῶν,
other being than the(-life) of-the body and of-the(-things)
ὅσα διὰ τοῦ σώματος· δι᾽ ὃ καὶ λυομένου
as-many-as through the body because-of which also being-dissolved
τοῦ σώματος, αὕτη οὐ συνδιαλύεται· Πρὸς δὲ τὸ μὴ
the body it not is-dissolved-with besides and the not

συνδιαλύεσθαι, καὶ ἀθάνατος διαμένει, ὡς μὴ πρὸς ἕτερον
to-be-dissolved-with also immortal it-abides as not in-relation-to another
ὁρωμένην, ἀλλ᾽ οὐσίαν ἔχουσα τὴν καθ᾽ αὑτὴν ζωήν.
seen but (as)-essence having the according-to itself life
33 Ἡ λογικὴ καὶ νοερὰ ψυχὴ οὐσίαν μὲν ἔχει τὴν
the rational and intellectual soul (as)-essence indeed has the
ζωήν, ἀλλὰ δεκτικὴν τῶν ἐναντίων, κακίας δηλονότι
life but receptive of-the contraries of-vice clearly
καὶ ἀγαθότητος. Ὅθεν δείκνυται μὴ οὐσίαν ἔχουσα τὴν
and goodness whence it-is-shown not (as)-essence having the
ἀγαθότητα, ὥσπερ οὐδὲ τὴν κακίαν, ἀλλ᾽ οἷόν τινα
goodness as not-even the vice but as some
ποιότητα, καθ᾽ ἑκατέραν, ὁπότε παρίῃ, διατιθεμένη.
quality according-to each whenever it-be-present disposed
Πάρεστι δὲ οὐ τοπικῶς· ἀλλ᾽ ἡνίκ᾽ ἂν ἡ νοερὰ ψυχή,
it-is-present and not locally but when — the intellectual soul
τὸ αὐτεξούσιον λαβοῦσα παρὰ τοῦ κτίσαντος, νεύσῃ
the free-will having-received from the(-one) having-created incline
πρὸς αὐτήν, καὶ ζῇν ἐθελήσῃ κατ᾽ αὐτήν· δι᾽ ὃ
toward it and to-live wish according-to it because-of which
καὶ σύνθετός ἐστί πως ἡ λογικὴ καὶ νοερὰ ψυχή, οὐκ
also composite is somehow the rational and intellectual soul not
ἐκ τῆς ἀνωτέρω εἰρημένης ἐνεργείας. Αὕτη γὰρ πρὸς
from the above mentioned working this for in-relation-to
ἕτερον οὖσα, σύνθεσιν ἐμποιεῖν οὐ πέφυκεν· ἀλλ᾽ ἐκ τῆς
another being composition to-produce not is-wont but from the
κατ᾽ αὐτὴν οὐσίας, καὶ μιᾶς ἡστινοσοῦν τῶν εἰρημένων
according-to it essence and one whichever of-the mentioned
ἐναντίων ποιοτήτων, ἀρετῆς τε, φημί, καὶ πονηρίας.
contrary qualities of-virtue both I-mean and wickedness

Ὁ ἀνωτάτω νοῦς, τὸ ἄκρον ἀγαθόν, ἡ ὑπέρζωος καὶ 34
the highest mind the extreme good the super-living and
ὑπέρθεος φύσις, πάντη τε καὶ πάντως ἀνεπίδεκτος οὖσα
super-divine nature wholly both and entirely unreceptive being
τῶν ἐναντίων, φανερῶς οὐ ποιότητα, ἀλλ᾽ οὐσίαν ἔχει τὴν
of-the contraries manifestly not (as)-quality but (as)-essence has the
ἀγαθότητα· δι᾽ ὃ καὶ πᾶν ὅπερ ἂν ἐννοήσῃ τις
goodness because-of which also everything which — may-conceive anyone
ἀγαθόν, ἐν ἐκείνῳ ἐστί. Μᾶλλον δὲ ἐκεῖνός ἐστι, καὶ ὑπὲρ
good in that is rather but that(-one) is(-it) and beyond
ἐκεῖνό ἐστι. Καὶ πᾶν ὅπερ ἐν ἐκείνῳ τις ἐννοήσειεν,
that is and everything which in that one might-conceive
ἀγαθόν ἐστι, μᾶλλον δὲ ἀγαθότης, καὶ ὑπεράγαθος
good is rather but goodness and super-good
ἀγαθότης ἐστί. Καὶ ἡ ζωὴ ἐν αὐτῷ ἐστι, μᾶλλον δὲ αὐτός
goodness is and the life in him is rather but he
ἐστιν ἡ ζωή· ἀγαθὸν γὰρ ἡ ζωή, καὶ ἀγαθότης ἐν αὐτῷ
is the life good for (is)-the life and goodness in him
ἡ ζωή. Καὶ ἡ σοφία ἐν αὐτῷ ἐστι, μᾶλλον δὲ αὐτός
(is)-the life and the wisdom in him is rather but he
ἐστιν· ἀγαθὸν γὰρ ἡ σοφία, καὶ ἀγαθότης ἐν αὐτῷ ἡ
is(-it) good for (is)-the wisdom and goodness in him (is)-the
σοφία, καὶ ἡ ἀϊδιότης, καὶ μακαριότης, καὶ ἁπλῶς ἅπαν
wisdom and the eternity and blessedness and simply all
ὅ τις ἂν ἐννοήσειεν ἀγαθόν. Καὶ οὐκ ἔστιν ἐκεῖ διαφορὰ
which one — might-conceive good and not there-is there difference
ζωῆς, καὶ σοφίας, καὶ ἀγαθότητος, καὶ τῶν τοιούτων.
of-life and wisdom and goodness and the such(-things)
Πάντα γὰρ ἡ ἀγαθότης ἐκείνη συνειλημμένως, καὶ ἑνιαίως,
all for the goodness that comprehensively and unitedly
καὶ ἁπλουστάτως συμπεριβάλλει· καὶ ἐκ πάντων νοεῖται
and most-simply embraces and from all is-conceived

καὶ καλεῖται τῶν ἀγαθῶν. Καὶ ἓν καὶ ἀληθές ἐστιν, ὅπερ
and is-called of-the good(-things) and one and true is whatever
ἄν τις ἐννοήσειε καὶ εἴπῃ περὶ αὐτῆς ἀγαθόν. Ἐκείνη δὲ
— one might-conceive and say about it good that but
οὐ τοῦτό ἐστι μόνον, ὅπερ ἀληθῶς νοεῖται, καὶ παρ᾽ αὐτῶν
not this is only which truly is-conceived even by those-very
τῶν θεοσόφῳ νῷ νοούντων, καὶ πνευματοκινήτῳ γλώσσῃ
the(-ones) with-God-wise mind conceiving and with-Spirit-moved tongue
θεολογούντων· ἀλλ᾽ ὡς ἄῤῥητός τε καὶ ἀπερινόητος, καὶ
theologizing but as ineffable both and inconceivable and
ὑπὲρ ταῦτά ἐστι, καὶ τοῦ ἑνιαίου καὶ τῆς ὑπερφυοῦς
beyond these is also from-the unity and the supernatural
ἁπλότητος οὐκ ἀπολείπεται· μία οὖσα πανάγαθος καὶ
simplicity not falls-short one being all-good and
ὑπεράγαθος ἀγαθότης· κατὰ τοῦτο γὰρ μόνον καὶ νοεῖται
super-good goodness by this for alone both is-conceived
καὶ καλεῖται, καὶ κατὰ τοῦτο παρὰ μόνων τῶν πρὸς
and is-named and by this from only the in-relation-to
τὴν κτίσιν οἰκείων ἐνεργειῶν ὁ Ποιητὴς καὶ Δεσπότης τῆς
the creation proper workings — Maker and Master of-the
κτίσεως ὅτι ἔστι πανάγαθος, καὶ ὑπεράγαθος ἀγαθότης,
creation that is all-good and super-good goodness
οὐσίαν ἔχων τὴν ἀγαθότητα. Δι᾽ ὃ καὶ τῆς
(as)-essence having the goodness because-of which also of-the
πρὸς αὐτὴν ἐναντιότητος, πάντη τε καὶ πάντως ἐστὶν
in-relation-to it contrariety wholly both and entirely he-is
ἀνεπίδεκτος· οὐδὲ γὰρ οὐδεμιᾷ ἐναντίον οὐσίᾳ ἐστίν.
unreceptive not for to-any contrary essence he-is

The supreme Goodness is mind; its Word is begotten, and its Spirit proceeds as an ineffable love of Begetter and Begotten. Man's mind, word, and love bear this image more than the angels. The devil, a dead spirit, spoke through the serpent and drew our forefathers into death; the forbidden tree was not yet profitable to the still imperfect. God postponed bodily death in mercy and gave time for repentance, and love of God is shown in the virtues.

Ἡ πανάγαθος αὕτη καὶ ὑπεράγαθος ἀγαθότης, καὶ πηγή 35
the all-good this and super-good goodness also (the)-source
ἐστιν ἀγαθότητος. Καὶ τοῦτο γὰρ ἀγαθόν, καὶ ἀγαθῶν
is of-goodness and this for (is)-good and of-good(-things)
τὸ ἀκρότατον· καὶ οὐκ ἦν ἀπεῖναι τῆς παντελοῦς
the highest and not was(-it-possible) to-be-absent from-the complete
ἀγαθότητος. Ἐπεὶ δὲ νοῦς ἐστιν ἡ ὑπερτελὴς καὶ παντελὴς
goodness since and mind is the super-perfect and complete
ἀγαθότης, τί ποτ' ἂν ἕτερον εἴη τὸ παρ' αὐτῆς
goodness what ever — other would-be the(-thing) from it
ὡς ἐκ πηγῆς προϊόν, ἢ λόγος, καὶ λόγος οὐ κατὰ
as from (a)-source proceeding than word and word not according-to
τὸν ἡμέτερον προφορικὸν λόγον; Οὐ νοῦ γὰρ οὗτος,
the our uttered word not of-mind for this(-is)
ἀλλὰ σώματος νῷ κινουμένου· οὐ κατὰ τὸν ἡμέτερον
but of-body by-mind moved not according-to the our
ἐνδιάθετον λόγον· φθόγγον γὰρ οἱονεὶ τύποις κἀκεῖνος ἐν
inner word (a)-sound for as-it-were by-types that-also in
ἡμῖν διατιθέμενος γίνεται· ἀλλ' οὐδὲ κατὰ τὸν ἡμέτερον
us disposed becomes but not-even according-to the our
ἐν διανοίᾳ λόγον, κἂν χωρὶς φθόγγων ᾖ, ἐπιβολαῖς
in thought word even-if without sounds it-be by-impulses
ἀσωμάτοις πάντη συμπεραιούμενος· κἀκεῖνος γὰρ μεθ' ἡμᾶς
bodiless altogether completed that-also for after us

ἐστι, καὶ διαλειμμάτων δεῖται, καὶ χρονικῶν οὐκ ὀλίγων
is and of-intervals needs and of-time not few
διαστημάτων, διεξοδικῶς προϊών, καὶ ἐξ ἀρχῆς ἀτελοῦς,
intervals discursively proceeding and from beginning imperfect
πρὸς τὸ ἐντελὲς συμπέρασμα προαγόμενος· ἀλλὰ κατὰ
toward the complete conclusion led-forward but according-to
τὸν ἐμφύτως ἡμῖν, ἐξ οὗ γεγόναμεν παρὰ τοῦ κτίσαντος
the innately to-us from when we-came-to-be by the(-one) having-created
ἡμᾶς κατ᾽ εἰκόνα οἰκείαν, ἐναποκείμενον τῷ νῷ λόγον,
us according-to (an)-image own stored-up in-the mind word
τὴν ἀεὶ συνυπάρχουσαν αὐτῷ γνῶσιν, ἥτις καὶ μάλιστα
the always coexisting with-it knowledge which also especially
ἐκεῖ ἐπὶ τοῦ ἀνωτάτω νοῦ τῆς παντελοῦς καὶ ὑπερτελοῦς
there in the highest mind of-the complete and super-perfect
ἀγαθότητος, παρ᾽ ἣ μηδὲν ἀτελές, πλὴν τοῦ ἐξ αὐτῆς
goodness with which nothing (is)-imperfect except the from it
εἶναι, πάντα ἐστὶν ἀπαραλλάκτως ὅσα ἐκείνη. Δι᾽
to-be all(-things) it-is without-variation as-many-as that(-is) because-of
ὃ καὶ Υἱὸς ὁ ἀνωτάτω Λόγος ἔστι τε καὶ παρ᾽ ἡμῶν
which also Son the highest Word is both and by us
καλεῖται· ἵν᾽ ἐπιγνῶμεν αὐτὸν ὄντα τέλειον, ἐν ὑποστάσει
is-called that we-may-recognize him being perfect in hypostasis
τελείᾳ τε καὶ ἰδίᾳ, ὡς ἐκ τοῦ Πατρὸς ὄντα, καὶ κατὰ μηδὲν
perfect both and own as from the Father being and in nothing
λειπόμενον τῆς πατρικῆς οὐσίας, ἀλλ᾽ ἀπαραλλάκτως τὸν
lacking of-the paternal essence but without-variation the
αὐτὸν ἐκείνῳ ὄντα, εἰ καὶ μὴ καθ᾽ ὑπόστασιν, ἣ τὸ ἐξ
same as-that(-one) being if even not by hypostasis which the from
ἐκείνου γεννητῶς θεοπρεπῶς εἶναι παρίστησι τὸν Λόγον.
that(-one) begottenly in-a-manner-fitting-God to-be presents the Word

Ἡ ἀγαθότης, ἡ ὡς πηγῆς τῆς νοερᾶς ἀγαθότητος 36
the goodness the(-one) as from-(a)-source of-the intellectual goodness
προϊοῦσα γεννητῶς, ἐπεὶ λόγος ἐστί, λόγον δὲ πνεύματος
proceeding begottenly since word it-is word and spirit
χωρὶς οὐκ ἄν τις νοῦν ἔχων ἐννοήσειεν· διὰ τοῦτο καὶ
without not — anyone mind having would-conceive because-of this also
τὸ Πνεῦμα τὸ ἅγιον ὁ ἐκ Θεοῦ Θεὸς Λόγος συμπροϊὸν
the Spirit the holy the from God God Word proceeding-with(-him)
ἐκ τοῦ Πατρὸς ἔχει. Πνεῦμα δέ, οὐ κατὰ τὸ
from the Father has Spirit and not according-to the(-spirit)
συνὸν τῷ ἡμετέρῳ διὰ τῶν χειλέων λόγῳ, ἀλλ᾽ οὐδὲ
accompanying the our through the lips word but not-even
κατὰ τὸ συνόν, εἰ καὶ ἀσωμάτως, τῷ καθ᾽ ἡμᾶς
according-to the(-one) accompanying if even bodilessly the according-to us
ἐνδιαθέτῳ καὶ κατὰ διάνοιαν λόγῳ· κἀκεῖνο γὰρ ὁρμή
inner and in thought word that(-one)-also for impulse
τίς ἐστι τοῦ νοῦ, τῷ ἡμετέρῳ λόγῳ συνδιατεινομένη
some is of-the mind with-the our word extending-together
χρονικῶς, καὶ διαστημάτων δεομένη τῶν αὐτῶν, καὶ ἐξ
in-time and of-intervals needing the same and from
ἀτελοῦς προϊοῦσα εἰς τελείωσιν. Ἐκεῖνο δὲ τὸ Πνεῦμα
imperfect proceeding toward perfection that and the Spirit
τοῦ ἀνωτάτω Λόγου, οἷόν τις ἔρως ἐστὶν ἀπόῤῥητος
of-the highest Word like some love is ineffable
τοῦ Γεννήτορος πρὸς αὐτὸν τὸν ἀποῤῥήτως γεννηθέντα
of-the Begetter toward the-very the ineffably begotten
Λόγον· ᾧ καὶ αὐτὸς ὁ τοῦ Πατρὸς ἐπέραστος λόγος
Word which also the-very the of-the Father beloved word
καὶ Υἱὸς χρῆται πρὸς τὸν Γεννήτορα· ἀλλ᾽ ὡς ἐκ τοῦ
and Son uses toward the Begetter but as from the
Πατρὸς ἔχων αὐτὸν συμπροελθόντα, καὶ συμφυῶς ἐν αὐτῷ
Father having him proceeding-with(-him) and connaturally in him

ἀναπαυόμενον. Παρ᾽ οὗ Λόγου διὰ σαρκὸς ὁμιλήσαντος
resting from which Word through flesh having-conversed
ἡμῖν, καὶ τὸ ὄνομα τῆς διαφόρου παρὰ τοῦ Πατρὸς
with-us also the name of-the different from the Father
ὑπάρξεως ἐδιδάχθημεν τοῦ Πνεύματος· καὶ μὴ τοῦ Πατρὸς
existence we-were-taught of-the Spirit and not of-the Father
εἶναι τοῦτο μόνον, ἀλλὰ καὶ αὐτοῦ. Τὸ Πνεῦμα γάρ, φησί,
to-be this only but also his the Spirit for he-says
τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἵν᾽ ἡμεῖς
of-the truth which from the Father proceeds that we
ἐπιγνῶμεν οὐ Λόγον μόνον, ἀλλὰ καὶ Πνεῦμα ἐκ τοῦ
may-recognize not (a)-Word only but also (a)-Spirit from the
Πατρός, οὐ γεννώμενον, ἀλλ᾽ ἐκπορευόμενον, ὂν δὲ τοῦ
Father not begotten but proceeding being and of-the
Υἱοῦ, παρὰ τοῦ Πατρὸς τοῦτ᾽ ἔχοντος, ὡς ἀληθείας, καὶ
Son from the Father this having as of-truth and
σοφίας, καὶ λόγου Πνεῦμα. Λόγος γὰρ ἡ ἀλήθεια καὶ
wisdom and word (the)-Spirit (the)-Word for (is)-the truth and
ἡ σοφία τῷ Γεννήτορι κατάλληλος, ὃς τῷ Πατρὶ ἐπ᾽
the wisdom to-the Begetter corresponding who with-the Father in
αὐτῷ χαίροντι, συγχαίρει, κατὰ τὸ παρ᾽ αὐτοῦ διὰ
him rejoicing rejoices-with according-to the(-saying) by him through
τοῦ Σολομῶντος εἰρημένον· «Ἐγὼ ἤμην, ᾗ συνέχαιρον
— Solomon spoken I was in-whom I-rejoiced-with
αὐτῷ.» Οὐκ ἔχαιρον, εἶπεν, ἀλλὰ συνέχαιρον· αὕτη γὰρ
him not I-rejoiced he-said but I-rejoiced-with this for
ἡ Πατρός τε καὶ Υἱοῦ προαιώνιος χαρά, τὸ Πνεῦμα
(is)-the of-Father both and of-Son pre-eternal joy the Spirit
τὸ ἅγιόν ἐστιν, ὡς κοινὸν μὲν αὐτοῖς κατὰ τὴν χρῆσιν
the holy is as common indeed to-them according-to the use
(δι᾽ ὃ παρ᾽ ἀμφοτέρων καὶ πρὸς τοὺς ἀξίους πέμπεται)·
because-of which from both also to the worthy it-is-sent

μόνου δὲ τοῦ Πατρὸς καθ᾽ ὕπαρξιν ὑπάρχον, δι᾽
only but of-the Father according-to existence existing because-of
ὃ καὶ παρ᾽ αὐτοῦ μόνου ἐκπορεύεται καθ᾽ ὕπαρξιν.
which also from him only it-proceeds according-to existence
Τούτου τοῦ ἀνωτάτω ἔρωτος τὴν εἰκόνα, καὶ ὁ κατ᾽ 37
of-this the highest love the image also the according-to
εἰκόνα τοῦ Θεοῦ κτισθεὶς ἡμῶν ἔχει νοῦς, πρὸς τὴν παρ᾽
(the)-image — of-God created our has mind toward the from
αὐτοῦ καὶ ἐν αὐτῷ διηνεκῶς ὑπάρχουσαν γνῶσιν. Παρ᾽ αὐτοῦ
it and in it continually existing knowledge from it
καὶ ἐν αὐτῷ καὶ τοῦτον ὄντα, καὶ συμπροϊόντα παρ᾽ αὐτοῦ
and in it also this being and proceeding-with from it
τῷ ἐνδοτάτῳ λόγῳ. Καὶ τούτου δεῖγμα ἐναργέστατον, καὶ
with-the innermost word and of-this (a)-proof most-evident also
τοῖς μὴ τὰ ἐνδοτάτω ἑαυτῶν δυναμένοις καθορᾷν,
for-the(-ones) not the innermost(-things) of-themselves able to-behold
ἡ πρὸς τὸ εἰδέναι τῶν ἀνθρώπων ἀκόρεστος ἔφεσις·
(is)-the toward the to-know of-the men insatiable longing
ἀλλ᾽ ἐν ἐκείνῳ τῷ ἀρχετύπῳ· ἐν ἐκείνῃ τῇ παντελείῳ
but in that the archetype in that the complete
καὶ ὑπερτελεῖ ἀγαθότητι, παρ᾽ ἣ μηδὲν ἀτελές· πλὴν
and super-perfect goodness with which nothing (is)-imperfect except
τοῦ ἐξ αὐτῆς εἶναι, πάντα ἐστὶν ἀπαραλλάκτως ὁ θεῖος
the from it to-be all(-things) is without-variation the divine
ἔρως ὅσα ἐκείνη· δι᾽ ὃ καὶ Πνεῦμα ἅγιον, καὶ
love as-many-as that(-is) because-of which also Spirit holy and
Παράκλητος ἄλλος, οὗτος ἔστι τε καὶ παρ᾽ ἡμῶν καλεῖται,
Paraclete other this is both and by us is-called
ὡς τῷ Λόγῳ συμπαρομαρτῶν· ἵν᾽ ἡμεῖς ἐπιγνῶμεν
as with-the Word accompanying that we may-recognize(-him)
ὄντα τέλειον, ἐν ὑποστάσει τελείᾳ τε καὶ ἰδίᾳ, κατὰ
being perfect in hypostasis perfect both and own in

μηδὲν καὶ αὐτὸν λειπόμενον τῆς τοῦ Πατρὸς οὐσίας· ἀλλ'
nothing also himself lacking of-the of-the Father essence but
ἀπαραλλάκτως ὄντα τὸν αὐτὸν τῷ τε Υἱῷ καὶ τῷ Πατρί,
without-variation being the same with-the both Son and the Father
εἰ καὶ μὴ καθ' ὑπόστασιν, ἥτις ἐκ τοῦ Θεοῦ θεοπρεπῶς
if even not by hypostasis which from — God in-a-manner-fitting-God
ἐκπορευτῶς εἶναι τοῦτον παρίστησιν ἡμῖν· καὶ σεφθῶμεν ἕνα
processionally to-be him presents to-us and let-us-revere one
Θεὸν ἀληθῆ τε καὶ τέλειον, ἐν τρισὶν ὑποστάσεσιν ἀληθιναῖς
God true both and perfect in three hypostases true
καὶ τελείαις· οὐ τριπλοῦν· ἄπαγε· ἀλλ' ἁπλοῦν. Οὐ γὰρ
and perfect not threefold away-with(-it) but simple not for
τριπλῆ τίς ἐστιν ἡ ἀγαθότης, οὐδὲ τριὰς ἀγαθοτήτων· ἀλλὰ
threefold any is the goodness nor (a)-triad of-goodnesses but
Τριὰς ἁγία καὶ σεβασμία καὶ προσκυνητή, ἡ ἀνωτάτω
(a)-Trinity holy and venerable and worshipful the highest
ἀγαθότης ἐστίν, ἐξ ἑαυτῆς εἰς ἑαυτὴν χεομένη ἀῤῥεύστως,
goodness is from itself into itself poured without-flux
καὶ ἐφ' ἑαυτῆς ἑστῶσα πρὸ αἰώνων θεοπρεπῶς,
and on itself standing before ages in-a-manner-fitting-God
ἀόριστός τε οὖσα καὶ παρὰ μόνης ἑαυτῆς ὡρισμένη,
unbounded both being and by alone itself bounded
καὶ τὰ πάντα ὁρίζουσα, καὶ πάντων ὑπερεκτεινομένη, καὶ
and the all bounding and all extending-beyond and
μηδὲν τῶν ὄντων ἐκτὸς ἑαυτῆς ἐῶσα.
nothing of-the(-things) being outside itself allowing

38 Ἔχει μὲν οὖν καὶ ἡ τῶν ἀγγέλων νοερὰ καὶ λογικὴ φύσις
has indeed then also the of-the angels intellectual and rational nature
νοῦν τε καὶ λόγον ἐκ τοῦ νοῦ, καὶ πρὸς τὸν λόγον ἔρωτα
mind both and word from the mind and toward the word love
τοῦ νοῦ· ὃς καὶ αὐτός ἐστιν ἐκ τοῦ νοῦ, καὶ σύνεστιν
of-the mind which also itself is from the mind and is-with

ἀεὶ τῷ τε λόγῳ καὶ τῷ νῷ, καὶ πνεῦμα ἂν καλοῖτο,
always the both word and the mind and spirit — it-might-be-called
ὡς τῷ λόγῳ φύσει συμπαρομαρτῶν. Ἀλλ᾽ οὐκ ἔχει καὶ
as with-the word by-nature accompanying but not it-has also
ζωοποιὸν τὸ πνεῦμα τοῦτο· οὐδὲ γὰρ συνημμένον εἴληφεν
life-giving the spirit this not-even for joined has-it-received
ἐκ γῆς παρὰ Θεοῦ σῶμα, ἵνα καὶ ζωοποιόν τε καὶ
from earth from God (a)-body that also life-giving both and
συνεκτικὴν λάβῃ πρὸς τοῦτο δύναμιν. Ἡ δὲ νοερὰ καὶ
sustaining it-might-receive for this power the but intellectual and
λογικὴ φύσις τῆς ψυχῆς, ἐπεὶ γηΐνῳ συνεκτίσθη σώματι,
rational nature of-the soul since with-earthly it-was-co-created body
καὶ ζωοποιὸν ἔλαβε τὸ πνεῦμα παρὰ τοῦ Θεοῦ, δι᾽ οὗ
also life-giving received the spirit from — God through which
συνέχει καὶ ζωοποιεῖ τὸ συνημμένον σῶμα, παρ᾽ οὗ
it-holds-together and makes-alive the joined body from which
καὶ δείκνυται τοῖς συνιοῦσιν, ὅτι νοερός ἐστιν ἔρως τὸ
also it-is-shown to-the(-ones) understanding that intellectual is love the
τοῦ ἀνθρώπου πνεῦμα, τὸ τοῦ σώματος ζωοποιόν· ὅπερ
of-the man spirit the of-the body life-giving which
ἐκ τοῦ νοῦ ἐστι καὶ τοῦ λόγου ἐστί, καὶ ἐν τῷ λόγῳ καὶ
from the mind is and of-the word is and in the word and
τῷ νῷ ἐστι, καὶ ἐν αὐτῷ ἔχει τόν τε λόγον καὶ τὸν νοῦν.
the mind is and in itself has the both word and the mind
Τοσοῦτον γὰρ ἐρασμίαν ἔχει δι᾽ αὐτοῦ φυσικῶς τὴν πρὸς
so-much for lovely has through it naturally the toward
τὸ οἰκεῖον σῶμα ἡ ψυχὴ συνάφειαν, ὡς μηδέποτ᾽ ἀπολιπεῖν
the own body the soul conjunction so-as never to-leave
τοῦτο ἐθέλει, μηδ᾽ ἀπολείπειν ὅλως, μὴ βίας ἐπενεχθείσης
this it-wishes nor to-leave at-all unless force be-brought
ἐκ νόσου δή τινος μεγίστης, ἢ πληγῆς ἔξωθεν.
from sickness indeed some greatest or blow from-outside

39 Ἡ νοερὰ καὶ λογικὴ φύσις τῆς ψυχῆς, μόνη νοῦν
the intellectual and rational nature of-the soul alone mind
ἔχουσα καὶ λόγον, καὶ πνεῦμα ζωοποιόν, μόνη καὶ τῶν
having and word and spirit life-giving alone even than-the
ἀσωμάτων ἀγγέλων μᾶλλον κατ᾽ εἰκόνα τοῦ Θεοῦ,
bodiless angels more according-to (the)-image — of-God
παρ᾽ αὐτοῦ δεδημιούργηται· καὶ τοῦτ᾽ ἔχει ἀμεταποίητον,
by him has-been-fashioned and this has unchangeable
κἂν μὴ ἐπιγνῷ τὴν ἑαυτῆς ἀξίαν, καὶ τοῦ κτίσαντος
even-if not it-recognize the its-own worth and of-the (one)-having-created
κατ᾽ εἰκόνα οἰκείαν, ἀξίως φρονῇ τε καὶ πολιτεύηται.
according-to (an)-image own worthily think both and live
Ταῦτ᾽ ἄρα καὶ μετὰ τὴν προγονικὴν ἐκείνην ἐν τῷ
these(-things) therefore also after the ancestral that in the
παραδείσῳ διὰ τοῦ ξύλου παράβασιν, καὶ πρὸ τοῦ
paradise through the tree transgression and before the
σωματικοῦ τὸν τῆς ψυχῆς ἡμεῖς ὑποστάντες θάνατον, ὅς
bodily the of-the soul we having-undergone death which
ἐστιν ὁ ἀπὸ τοῦ Θεοῦ ταύτης χωρισμός, τὸ καθ᾽
is the from — God its separation the according-to
ὁμοίωσιν εἶναι θείαν ἀποβαλόντες, τὸ κατ᾽ εἰκόνα
likeness to-be divine having-cast-away the according-to (the)-image
οὐκ ἀπωλέσαμεν· ἀποστέργουσα μὲν οὖν ἡ ψυχὴ τὴν
not we-lost turning-away indeed then the soul the
πρὸς τὰ χείρω σχέσιν, καὶ προσκολλωμένη δι᾽ ἀγάπης
toward the worse relation and cleaving through love
τῷ κρείττονι, καὶ ὑποταττομένη τούτῳ διὰ τῶν ἔργων
to-the better and subjected to-it through the works
καὶ τῶν τρόπων τῆς ἀρετῆς, φωτίζεται παρ᾽ αὐτοῦ καὶ
and the ways of-the virtue is-illumined by it and
καλλύνεται βελτιουμένη, καὶ πειθομένη ταῖς ἐκείνου βουλαῖς
is-beautified improved and obeying the his counsels

καὶ παραινέσεσι, παρ᾽ ὧν καὶ τὴν ὄντως ζωὴν τὴν αἰώνιον
and exhortations from which also the truly life the eternal
ἀπολαμβάνει· δι᾽ αὐτῆς καὶ τὸ συνημμένον ἀπαθανατίζει
it-receives through it also the joined it-immortalizes
σῶμα τῆς ἐπηγγελμένης ἐξαναστάσεως κατὰ καιρόν,
body of-the promised resurrection at (the)-time
τυχόν, καὶ δόξης ἀϊδίου μετασχόν· μὴ ἀποποιουμένη
having-attained and of-glory eternal having-partaken not rejecting
δὲ τὴν πρὸς τὰ χείρω σχέσιν καὶ ὑπόπτωσιν, παρ᾽
but the toward the worse relation and subjection from
ἧς αἶσχος ἀτιμοποιὸν ἐμποιεῖ τῇ τοῦ Θεοῦ εἰκόνι·
which shame dishonoring it-produces in-the — of-God image
ἀλλοτριοῦται καὶ ἀποικίζεται Θεοῦ τῆς ὄντως μακαρίας καὶ
it-is-estranged and banished of-God the truly blessed and
ἀληθινῆς ζωῆς, ὡς ἐγκαταλιποῦσα τοῦτον αὐτὴ πρότερον,
true life as having-abandoned him it first
ἐγκαταλιμπανομένη δικαίως παρὰ κρείττονος.
being-abandoned justly by (the)-better
Ἡ μετὰ τὴν ἀνωτάτω Τριάδα τριαδικὴ φύσις, ὡς παρ᾽ 40
the after the highest Trinity trinitarian nature as by
ἐκείνης εἰκόνα ἐκείνης πεποιημένη μᾶλλον τῶν ἄλλων,
that (the)-image of-that made more than-the others
νοερά, λογική τε καὶ πνευματικὴ (τοιαύτη δέ ἐστιν ἡ
intellectual rational both and spiritual such and is the
ἀνθρωπίνη ψυχή), φυλάττειν ὀφείλει τὴν ἑαυτῆς τάξιν, καὶ
human soul to-keep ought the its-own order and
μετὰ Θεὸν εἶναι μόνον, καὶ τούτῳ ὑπεζεῦχθαι μόνῳ, καὶ
after God to-be only and to-him to-be-yoked alone and
ὑποκεῖσθαι καὶ πείθεσθαι, καὶ πρὸς αὐτὸν ὁρᾷν μόνον, καὶ
to-be-subject and to-obey and toward him to-look only and
κοσμεῖν ἑαυτὴν τῇ διηνεκεῖ τούτου μνήμῃ καὶ θεωρίᾳ,
to-adorn itself with-the continual of-him remembrance and contemplation

καὶ τῇ θερμοτάτῃ πρὸς αὐτὸν καὶ διαπύρῳ ἀγάπῃ·
and with-the warmest toward him and fiery love
δι᾽ ὧν θαυμαστῶς πρὸς ἑαυτὴν ἐπισπᾶται, μᾶλλον δέ,
through which wonderfully toward itself it-draws rather but
ἐπεσπᾶτο ἦν ὅτε τὴν τῆς φύσεως ἐκείνης μυστικὴν καὶ
drew(-once) there-was when the of-the nature that mystic and
ἀπόῤῥητον αἴγλην· καὶ τηνικαῦτα τὸ κατ᾽ εἰκόνα Θεοῦ
ineffable radiance and then the according-to (the)-image of-God
καὶ ὁμοίωσιν ἔχει ὡς ἀληθῶς ἐπίχαρις, καὶ σοφή, καὶ θεία
and likeness it-has as truly graceful and wise and divine
διὰ ταύτης ἐκτελουμένη. Διδάσκεται γὰρ δι᾽ αὐτῆς ἢ
through this made-perfect it-is-taught for through it either
παρούσης ἐμφανῶς, ἢ ἐγγιζούσης ἀφανῶς ὡς ἐπὶ μᾶλλον
present manifestly or drawing-near invisibly as for more
νῦν, τὸν μὲν Θεόν, ὑπὲρ ἑαυτήν, τὸν δὲ πλησίον, ὡς
now the indeed God beyond itself the and neighbor as
ἑαυτήν, ἀγαπᾷν, κἀντεῦθεν καὶ τὴν ἑαυτῆς ἀξίαν τε καὶ
itself to-love and-from-this also the its-own worth both and
τάξιν εἰδέναι καὶ συντηρεῖν, καὶ ἑαυτὴν ὡς ἀληθῶς ἀγαπᾷν.
order to-know and to-preserve and itself as truly to-love
Ὁ γὰρ ἀγαπῶν τὴν ἀδικίαν, μισεῖ τὴν ἑαυτοῦ ψυχήν,
the(-one) for loving the injustice hates the his-own soul
καὶ τὸ κατ᾽ εἰκόνα εἶναι τοῦ Θεοῦ διασπῶν τε καὶ
and the according-to (the)-image being — of-God tearing-apart both and
ἀχρειῶν παραπλήσιον ὑφίσταται πάθος, τοῖς ὑπὸ μανίας
making-useless (a)-like undergoes passion to-the(-ones) by madness
ἀνεπαισθήτως τὰς ἑαυτῶν ἐλεεινῶς διασπαράττουσι σάρκας.
unawares the their-own pitiably tearing flesh
Ἀνεπαισθήτως γὰρ καὶ αὐτὸς λυμαίνεται καὶ ἀθλιώτατα
unawares for also he ruins and most-wretchedly
διασπαράττει τὴν ἔμφυτον ἑαυτοῦ καλλονήν, διαῤῥήσσων
tears-apart the innate his beauty rending

ἀφρόνως τὸν ὑπὸ τῆς ἀγάπης ἔνδον συμπληρούμενον
foolishly the by the love within completed
τριαδικὸν καὶ ὑπερκόσμιον κόσμον τῆς ἰδίας ψυχῆς. Τί γὰρ
trinitarian and supercosmic world of-the own soul what for
ἀδικώτερον; τί δὲ ὀλεθριώτερον, τοῦ τὸν κτίσαντα
more-unjust what and more-destructive than-the the(-one) having-created
καὶ κοσμήσαντα κατ᾽ εἰκόνα οἰκείαν, καὶ διὰ τοῦτο
and having-adorned(-it) according-to (an)-image own and because-of this
παρασχόντα τῆς γνώσεως καὶ τῆς ἀγάπης τὴν δύναμιν,
having-furnished(-it) of-the knowledge and of-the love the power
καὶ τοῖς ταύτῃ καλῶς χρωμένοις προσεπιδαψιλευόμενον
and to-the(-ones) it well using lavishing-besides
τὰς ἀποῤῥήτους δωρεάς, καὶ ζωὴν τὴν αἰώνιον, μὴ
the ineffable gifts and life the eternal not
μεμνῆσθαι, καὶ καθορᾷν διηνεκῶς ἐθέλειν, καὶ ἀγαπᾷν;
to-remember and to-behold continually to-wish and to-love
Ἓν τῶν τῆς ψυχῆς τῆς καθ᾽ ἡμᾶς χειρόνων, καὶ 41
one of-the(-things) than-the soul the according-to us worse and
μᾶλλον, καὶ πάνυ μᾶλλον τῶν ἄλλων χεῖρον, ὁ νοητὸς
more and very-much more than-the others worse the intelligible
καὶ ἀρχέκακός ἐστιν ὄφις, ἄγγελος νῦν τῆς καθ᾽ ἑαυτὸν
and author-of-evil is serpent (an)-angel now of-the according-to himself
πονηρίας, ἐκ τῆς πρὸς ἀνθρώπους πονηρᾶς ὑποθήκης
wickedness from the toward men evil suggestion
γενόμενος, τοσούτῳ κατώτερός τε καὶ χείρων ἁπάντων,
having-become so-much lower both and worse than-all
ὅσον ἐπεθύμησεν ὑπερηφάνως ἐξομοιωθῆναι κατ᾽ ἐξουσίαν
as-much-as he-desired proudly to-be-made-like in authority
τῷ κτίσαντι, παρ᾽ οὗ τοσοῦτον ἐγκατελείφθη δικαίως,
to-the (one)-having-created by whom so-much he-was-abandoned justly
ὁπόσον αὐτὸς φθάσας αὐτὸν ἐγκατέλιπε· τοσοῦτον δὲ
as-much-as he first him abandoned so-much and

ἐγκατέλιπεν, ὡς ἀντίθετος ἐκείνῳ καὶ ἀντικείμενος, καὶ
he-abandoned(-him) as opposite to-that(-one) and opposed and
φανερῶς ὑπεναντίος τελέσαι. Εἰ οὖν ἐκεῖνος ἀγαθότης
manifestly contrary to-end-up if then that(-one) (is)-goodness
ζῶσα, καὶ τῶν ζώντων ζωοποιός, αὐτόχρημα κακία οὗτός
living and of-the living life-giving very vice this(-one)
ἐστι νεκρὰ καὶ νεκροποιός· ἐκεῖνος μὲν γὰρ οὐσίαν ἔχων
is dead and death-making that(-one) indeed for (as)-essence having
τὴν ἀγαθότητα, καὶ τοῦ ἐναντίου δηλαδὴ τῆς κακίας,
the goodness and of-the contrary clearly of-the vice
φύσει ἀνεπίδεκτος ὤν, ἅτε μηδ' ἐγγίζειν δέον
by-nature unreceptive being inasmuch-as not-even to-draw-near being-fitting
αὐτῷ τοὺς κακίας μετόχους ἡστινοσοῦν· πόσῳ μᾶλλον
to-him the(-ones) of-vice partakers whatever how-much more
τὸν δημιουργὸν καὶ ἀρχηγὸν τῆς κακίας καὶ τοῖς ἄλλοις
the creator and author of-the vice and for-the others
αἴτιον, τοῦτον ὡς πορρώτατω ἑαυτοῦ ἀπωθεῖται; Ὁ δὲ
cause him as farthest from-himself he-thrusts-away the but
πονηρός, οὐ πονηρίαν, ἀλλὰ ζωὴν ἔχων τὴν οὐσίαν, δι'
evil(-one) not wickedness but life having (as)-the essence because-of
ὃ καὶ ἀθάνατος διαμένει κατ' αὐτήν· δεκτικὴν μέντοι
which also immortal he-remains according-to it receptive however
ταύτην καὶ κακίαν ἔχων, καὶ αὐτεξουσιότητι τετιμημένος·
this also vice having and with-free-will honored
ἵν' οἴκοθεν ὑποταττόμενος καὶ κολλώμενος τῇ ἀενάῳ τῆς
that of-his-own subjected and cleaving to-the ever-flowing of-the
ἀγαθότητος πηγῇ, μέτοχος εἴη τῆς ὄντως ζωῆς. Ἐπεὶ
goodness source (a)-partaker he-might-be of-the truly life since
δὲ πρὸς τὴν κακίαν ἑκὼν οὗτος ἀπηυτομόλησε, στερεῖται
but to the vice willingly this(-one) deserted he-is-deprived
τῆς ὄντως ζωῆς, ἀπωσθεὶς ταύτης δικαίως, ἧς ἀπέδρα
of-the truly life thrust-away from-it justly which he-fled

φθάσας αὐτός· καὶ νεκρὸν γίνεται πνεῦμα, οὐ κατ᾽
first he and dead becomes (a)-spirit not according-to
οὐσίαν (οὐ γάρ ἐστιν οὐσία νεκρότητος), ἀλλὰ κατὰ
essence not for there-is (an)-essence of-deadness but according-to
ἀποβολὴν τῆς ὄντως ζωῆς. Ὁ δὲ κόρον μὴ λαμβάνων
(the)-casting-away of-the truly life he but satiety not taking
τῆς πρὸς κακίαν ὁρμῆς, καὶ προστιθεὶς ἀθλιώτατα,
of-the toward vice impulse and having-added most-wretchedly
νεκροποιὸν ἑαυτὸν ποιεῖ πνεῦμα, σπεῦδον ἐπισπᾷν καὶ
death-making himself makes spirit hastening to-draw also
τὸν ἄνθρωπον πρὸς κοινωνίαν τῆς οἰκείας νεκρώσεως.
the man toward communion of-the own deadening
Ὡς σκολιὸς τοὺς τρόπους, καὶ πολὺς ἐν δόλοις, ὁ τῆς 42
as crooked (in)-the ways and much in deceits the of-the
νεκρώσεως μεσίτης καὶ πρόξενος, τὸν σκολιὸν ὑποδύεται
deadening mediator and procurer the crooked puts-on
ὄφιν ἐν τῷ τοῦ Θεοῦ παραδείσῳ ποτέ· οὐχ ὄφις αὐτὸς
serpent in the — of-God paradise once not (a)-serpent he
γεγονὼς (οὐδὲ γὰρ δύναται, ὅτι μὴ κατὰ φαντασίαν, ᾗ
having-become not-even for can-he except — by fantasy which
δεῖν οὐκ ἔγνω τηνικαῦτα χρήσασθαι, μὴ φωραθείη
(it-was)-needful not he-knew then to-use lest he-be-detected
δεδιώς), ἀλλὰ μὴ θαῤῥῶν τὴν φανερὰν ὁμιλίαν, προκρίνει
fearing but not daring the open converse he-prefers
τὴν δολεράν· καὶ ταύτην, καθ᾽ ἣν μᾶλλον ἐθάῤῥει
the deceitful(-one) and this by which more he-was-confident
λαθεῖν· ἵν᾽ ὡς φίλος ὁρώμενος, τὰ τῶν ἐχθίστων
to-escape-notice that as (a)-friend seen the(-things) of-the most-hostile
ἀφανῶς εἰσηγήσηται, καὶ τῷ ἐξαισίῳ τῆς προσλαλιᾶς
invisibly he-might-suggest and by-the extraordinary of-the speaking
(οὐδὲ γὰρ ἦν λογικὸς ὁ αἰσθητὸς ὄφις, οὐδ᾽ ἐφαίνετο
not-even for was rational the sensible serpent nor did-it-appear

δύνασθαι φωνὴν ἀφιέναι πρότερον) ἐκστήσῃ, καὶ πρὸς
able (a)-voice to-utter first he-might-astonish(-her) and to
ἑαυτὸν ὅλην ἐπισπάσηται, καὶ ταῖς μηχαναῖς εὐχείρωτον
himself whole he-might-draw and by-the devices easy-to-master
ποιήσηται τὴν ἀκούουσαν· ἵνα γυμνάσῃ ταύτην εὐθύς,
he-might-make the(-woman) hearing that he-might-train her at-once
ἐντεῦθεν τοῖς χείροσιν ὑποτάσσεσθαι, καὶ δουλεύειν ἐκείνοις,
from-here to-the worse to-be-subject and to-serve those
ὧν βασιλεύειν ἀξίως ἔλαχεν, ὡς μόνη τῶν κατ᾽
whom to-rule worthily she-obtained as alone of-the(-things) in
αἴσθησιν ζώντων, χειρὶ Θεοῦ καὶ λόγῳ τετιμημένη, καὶ
sensation living by-hand of-God and by-word honored and
κατ᾽ εἰκόνα γενομένη τοῦ κτίσαντος. Ἐνδίδωσι δὲ ὁ
according-to (the)-image having-become of-the(-one) having-created allows and —
Θεός, ἵν᾽ ἰδὼν ὁ ἄνθρωπος προσαγομένην τὴν συμβουλὴν
God that having-seen the man brought the counsel
ἐκ τοῦ χείρονος (πόσον γὰρ χείρων ὁ ὄφις ἀνθρώπου!),
from the worse how-much for worse (is)-the serpent than-man
καὶ πόσῳ σαφῶς συνῇ μηδαμῶς οὖσαν λυσιτελῆ,
and how-much clearly he-might-understand in-no-way being profitable
καὶ ἀναξιοπαθήσῃ τὴν πρὸς τὸ φανερῶς χεῖρον ὑποταγήν,
and might-disdain the toward the manifestly worse subjection
καὶ φυλάξῃ πρὸς τὸν κτίσαντα πίστιν, τὴν ἐκείνου τηρῶν
and might-keep toward the(-one) having-created faith the his keeping
ἐντολήν· καὶ νικητὴς ῥᾳδίως τελέσῃ τοῦ ἐκπεσόντος
commandment and victor easily might-end-up over-the(-one) having-fallen-away
τῆς ὄντως ζωῆς, καὶ λάβῃ δικαίως τὴν μακαρίαν
from-the truly life and receive justly the blessed
ἀθανασίαν, καὶ διαμένῃ ζῶν ἔνθεος εἰς τοὺς αἰῶνας.
immortality and remain living inspired to the ages

Οὐδὲν ἀνθρώπου κρεῖττον, ὥστε βουλεύσασθαι καὶ γνώμην 43
nothing than-man (is)-better so-as to-take-counsel and judgment
εἰσενεγκεῖν, καὶ δι᾽ αὐτῆς γνῶναι καὶ πορίσασθαι
to-bring-in and through it to-know and to-procure
τὸ συνοῖσον· μόνον εἰ φυλάττει τὴν ἑαυτοῦ τάξιν,
the(-thing) about-to-profit only if he-keeps the his-own order
καὶ γινώσκει ἑαυτόν, καὶ τὸν μόνον ἑαυτοῦ κρείττω, καὶ
and knows himself and the only than-himself better and
τηροίη μὲν ἃ παρ᾽ ἐκείνου μάθοι τοῦ κρείττονος, εἰς
should-keep indeed what from that(-one) he-may-learn the better for
ἃ δὲ μὴ παρ᾽ ἐκείνου μάθοι, σύμβουλον ἐκεῖνον μόνον
what but not from that(-one) he-may-learn (as)-counselor that(-one) only
συμπαραλαμβάνοι βουλεύων. Καὶ οἱ ἄγγελοι γάρ, εἰ καὶ
should-take-along taking-counsel and the angels for if even
ὑπὲρ ἡμᾶς εἰσι τὴν ἀξίαν, ἀλλ᾽ ὑπηρετοῦνται καὶ οὗτοι τοῖς
above us are in-the worth yet are-subservient also these to-the
ὑπὲρ ἡμῶν ἐκείνου βουλεύμασιν, ἀποστελλόμενοι διὰ τοὺς
for us his counsels being-sent for the(-ones)
μέλλοντας κληρονομεῖν σωτηρίαν· μᾶλλον δὲ οὐ πάντες,
going to-inherit salvation rather but not all
ἀλλὰ κἀκείνων οἱ ἀγαθοὶ καὶ φυλάξαντες τὴν ἑαυτῶν
but also-of-those the good(-ones) and having-kept the their-own
τάξιν· ἔχουσι γὰρ κἀκεῖνοι παρὰ Θεοῦ νοῦν, λόγον, καὶ
order they-have for those-also from God mind word and
πνεῦμα, συμφυῆ τὰ τρία ταῦτα· καὶ τῷ δημιουργῷ Νῷ,
spirit connatural the three these and to-the creating Mind
καὶ Λόγῳ, καὶ Πνεύματι καθ᾽ ἡμᾶς ὀφείλουσι πείθεσθαι·
and Word and Spirit like us they-ought to-obey
καὶ πλεονεκτοῦσι μὲν ἡμῶν ἐν πολλοῖς, ἔστι δὲ ἐφ᾽
and they-surpass indeed us in many(-things) there-are(-things) but in
ὧν ἡμῶν ἀποδέουσιν, ὡς ἔφημέν γε καὶ λέξομεν, πρὸς
which us they-fall-short as we-said indeed and will-say toward

τὸ τελεῖν κατ᾽ εἰκόνα τοῦ κτίσαντος· δι᾽ ἃ
the to-be according-to (the)-image of-the(-one) having-created because-of which
καὶ μᾶλλον ἐκείνων ἡμεῖς κατ᾽ εἰκόνα Θεοῦ, γεγόναμεν.
also more than-those we according-to (the)-image of-God have-come-to-be
44 Ὑπηρετεῖν ὡρισμένων δυνατῶς τῶν ἀγγέλων τῷ
to-serve having-been-appointed powerfully the angels the
Κτίσαντι, καὶ μόνον ἄρχεσθαι κληρωσαμένων, ἄρχειν δὲ
Creator and only to-be-ruled having-been-allotted to-rule but
τῶν μετ᾽ αὐτοὺς οὐ ταχθέντων, εἰ μὴ ἄρα πεμφθεῖεν εἰς
the(-ones) after them not ordered unless — perhaps they-be-sent for
τοῦτο παρὰ τοῦ κρατοῦντος τῶν ὅλων· ὁ Σατᾶν ἄρχειν
this by the(-one) ruling the whole — Satan to-rule
ἐπεθύμησεν ὑπερηφάνως παρὰ γνώμην τοῦ κτίσαντος·
desired proudly against (the)-judgment of-the(-one) having-created
καὶ τὴν ἑαυτοῦ τάξιν μετὰ τῶν συναποστατῶν ἀγγέλων
and the his-own order with the fellow-apostate angels
ἀπολιπών, ἐγκαταλιμπάνεται δικαίως παρὰ τῆς ὄντως
having-left is-abandoned justly by the truly
ζωτικῆς καὶ φωτιστικῆς πηγῆς· καὶ θάνατον ἐνδύεται, καὶ
life-giving and illuminating source and death puts-on and
ζόφον αἰώνιον. Ἐπεὶ δὲ ὁ ἄνθρωπος, οὐκ ἄρχεσθαι μόνον,
darkness eternal since and the man not to-be-ruled only
ἀλλὰ καὶ ἄρχειν τέτακται τῶν ἐπὶ γῆς ἁπάντων·
but also to-rule has-been-ordered the(-things) on earth all
βασκάνοις ὄμμασι τοῦτον προσιδὼν ὁ ἀρχέκακος, πάσῃ
with-envious eyes him having-looked-at the author-of-evil every
μηχανῇ χρῆται, τοῦτον τῆς ἀρχῆς καθελεῖν· βίᾳ δὲ οὐκ
device uses him from-the rule to-pull-down by-force but not
ἔχων, ἅτε κωλυόμενος παρὰ τοῦ πάντων κρατοῦντος,
able inasmuch-as prevented by the(-one) all ruling
ὃς τὴν λογικὴν φύσιν ἐδημιούργησεν ἐλεύθερόν τε καὶ
who the rational nature fashioned free both and

αὐτεξούσιον, σὺν δόλῳ προσάγει τὴν καθαιρήσουσαν τῆς
self-determining with deceit he-brings the going-to-pull-down from-the
ἀρχῆς συμβουλήν, καὶ κλέπτει, μᾶλλον δὲ πείθει τοὺς
rule counsel and steals rather but persuades the
ἀνθρώπους περιδεῖν μὲν καὶ παρ᾽ οὐδὲν θέσθαι καὶ ἀθετῆσαι,
men to-overlook indeed and as nothing to-set and to-set-aside
μᾶλλον δὲ καὶ ἀντιτάξασθαι, καὶ τἀναντία πρᾶξαι τῆς παρὰ
rather but also to-oppose and the-opposite to-do of-the from
τοῦ κρείττονος δεδομένης ἐντολῆς τε καὶ συμβουλῆς,
the better given commandment both and counsel
καὶ ὡς κοινωνήσαντα τῆς ἀποστασίας, κοινωνῆσαι καὶ
and as having-shared of-the apostasy to-share also
τοῦ καθ᾽ ἑαυτὸν αἰωνίου ζόφου, καὶ τῆς νεκρώσεως.
of-the according-to himself eternal darkness and of-the deadening
Ὅτι δὲ καὶ ἡ λογικὴ ψυχὴ ἔστιν ὡς νεκροῦται, 45
that and also the rational soul there-is(-a-way) as it-is-deadened
καίτοι ζωὴν ἔχουσα τὸ εἶναι, Παῦλος ὁ μέγας ἡμᾶς
although life having (as)-the being Paul the great us
ἐδίδαξε γράφων· «Ἡ σπαταλῶσα χήρα ζῶσα τέθνηκεν.»
taught writing the living-wantonly widow living has-died
Εἰρῆσθαι μὲν οὖν ἐκείνῳ τοῦτο καὶ περὶ τοῦ
to-have-been-said indeed then by-him this also about the(-thing)
προκειμένου νῦν τῆς λογικῆς δηλονότι ψυχῆς, οὐ χεῖρον
proposed now the rational clearly soul not worse
ἂν εἰπεῖν εἴη· ἡ γὰρ ἐστερημένη τοῦ πνευματικοῦ
— to-say it-would-be the for deprived of-the spiritual
νυμφίου ψυχή, εἰ μὴ συνεσταλμένη καὶ πενθοῦσα εἴη, καὶ
bridegroom soul if not contracted and mourning it-be and
τὸν στενὸν καὶ τεθλιμμένον βίον τῆς μετανοίας ἀνύουσα,
the narrow and afflicted life of-the repentance accomplishing
ἀλλὰ διαχεομένη, καὶ ταῖς ἡδοναῖς ἑαυτὴν ἐφιεῖσα καὶ
but poured-out and to-the pleasures itself giving-over and

σπαταλῶσα, ζῶσα (καὶ γὰρ κατ᾽ οὐσίαν ἐστὶν ἀθάνατος)
living-wantonly living and for in essence it-is immortal
τέθνηκε· καὶ γὰρ ἔστι δεκτικὴ θανάτου τοῦ χείρονος,
has-died also for it-is receptive of-death of-the worse
ὥσπερ καὶ ζωῆς τῆς ἀμείνονος. Εἰ δὲ καὶ χήραν λέγει
as also of-life of-the better if and also widow he-calls
τὴν ἐστερημένην τοῦ σωματικοῦ νυμφίου, σπαταλῶσα
the(-woman) deprived of-the bodily bridegroom living-wantonly
καὶ ζῶσα κατὰ σῶμα, πάντως τέθνηκε, φησί, κατὰ
and living according-to body by-all-means has-died he-says according-to
ψυχήν. Ἐπεὶ καὶ ἀλλαχοῦ φησιν ὁ αὐτός, ὅτι Νεκροὺς
soul since also elsewhere says the same that dead
ἡμᾶς ὄντας τοῖς παραπτώμασι, συνεζωοποίησε τῷ Χριστῷ.
us being in-the trespasses he-made-alive-together — with-Christ
Τί δὲ ὁ εἰπών, Ἔστιν ἁμαρτία πρὸς θάνατον; ἀλλὰ
what and the(-one) having-said there-is sin unto death but
καὶ ὁ Κύριος, ἀφεῖναί τινι προστάξας τοὺς νεκροὺς
also the Lord to-let some(-one) having-ordered the dead
θάπτειν τοὺς νεκρούς, τοὺς ἐνταφιαστὰς ἐκείνους κατὰ
to-bury the dead the buriers those according-to
σῶμα ζῶντας, νεκροὺς πάντως, κατὰ ψυχὴν ἀπεφήνατο.
body living dead by-all-means according-to soul declared
46 Ἐκστήσαντες ἑκόντες ἑαυτοὺς οἱ τοῦ γένους προπάτορες
having-put-out-of-mind willingly themselves the of-the race forefathers
τῆς τοῦ Θεοῦ μνήμης καὶ θεωρίας, καὶ τῆς ἐκεῖθεν
from-the — of-God remembrance and contemplation and of-the from-there
ἐντολῆς ἀλογήσαντες, καὶ τῷ νεκρῷ τοῦ Σατᾶν
commandment having-disregarded and with-the dead — of-Satan
ὁμονοήσαντες πνεύματι, καὶ τοῦ ἀπηγορευμένου ξύλου
having-agreed spirit and of-the forbidden tree
φαγόντες παρὰ γνώμην τοῦ κτίσαντος, γυμνωθέντες
having-eaten against (the)-judgment of-the(-one) having-created stripped

τῶν ἐκ τῆς ἄνωθεν αἴγλης φωτεινῶν καὶ ζωτικῶν
of-the from the above radiance luminous and life-giving
ἐνδυμάτων, νεκροί, φεῦ! ὡς ὁ Σατᾶν, καὶ αὐτοὶ κατὰ
garments dead alas! as — Satan also they according-to
πνεῦμα γεγόνασιν. Ἐπεὶ δὲ ὁ Σατᾶν, οὐ νεκρόν ἐστι πνεῦμα
spirit have-become since and — Satan not dead is spirit
μόνον, ἀλλὰ καὶ νεκροῦν τοὺς ἐγγίζοντας, τοῖς δὲ
only but also deadening the(-ones) drawing-near to-the(-ones) and
μετασχοῦσι τῆς ἐκείνου νεκρώσεως καὶ σῶμα παρῆν, δι᾽
having-partaken of-the his deadening also (a)-body was-present through
οὗ καὶ συνεπεράνθη πρὸς ἔργον ἐλθοῦσα ἡ νεκροποιὸς
which also was-accomplished to deed having-come the death-making
συμβουλή, μεταδιδόασι, φεῦ! καὶ τοῖς οἰκείοις σώμασι,
counsel they-impart alas! also to-the own bodies
τὰ νεκρὰ καὶ νεκροποιὰ ἐκεῖνα πνεύματα τῆς νεκρώσεως,
the dead and death-making those spirits of-the deadening
κἂν διελύθη παραυτὰ πρὸς γῆν ἐπιστρέψαν ὅθεν
and would-have-been-dissolved immediately to earth having-returned whence
ἐλήφθη τὸ ἀνθρώπινον σῶμα· εἰ μὴ προμηθείᾳ, καὶ
was-taken the human body unless — by-forethought and
δυνάμει συνεχόμενον κρείττονι, τὴν ἀπόφασιν ἐκαρτέρει·
power held-together better the sentence it-awaited
τοῦ ῥήματι μόνῳ τὰ πάντα φέροντος· ἧς χωρὶς οὐδὲν
of-the(-one) by-word alone the all bearing which without nothing
ἐκτελεῖται τῶν τελουμένων. Ἐκφέρεται δ᾽ ἐκείνη σὺν
is-accomplished of-the(-things) accomplished is-carried-out and that with
δίκῃ πάντοτε. Δίκαιος γὰρ ὁ Κύριος, κατὰ τὸν
justice always just for (is)-the Lord according-to the
θεῖον Ψαλμῳδὸν εἰπεῖν, καὶ δικαιοσύνας ἠγάπησεν.
divine Psalmist to-say and righteousnesses he-loved

47 Ὁ Θεὸς θάνατον οὐκ ἐποίησε, κατὰ τὸ γεγραμμένον·
— God death not made according-to the(-thing) written
ἀλλὰ καὶ γενέσθαι τοῦτον ἐκώλυσεν, ἐφ' ὅσον
but even to-come-to-be it be-hindered for as-much-as
ἐχρῆν, καὶ μετὰ δικαιοσύνης ἐξῆν κωλύειν τοὺς
was-needful and with justice it-was-possible to-hinder the
αὐτεξουσίους παρ' αὐτοῦ γεγονότας. Προεισήνεγκε γὰρ
self-determining by him made he-brought-forward for
βουλὴν ἀπαθανατίζουσαν, καὶ προασφαλιζόμενος ἄγαν
(a)-counsel immortalizing and securing-beforehand very
τὴν ζωοποιὸν συμβουλήν, οἰκείαν ἐποίησεν ἐντολήν·
the life-giving counsel own he-made commandment
καὶ προηγόρευσε φανερῶς καὶ ἠπείλησε, θάνατον εἶναι
and foretold manifestly and threatened death to-be
διατεινάμενος τῆς ζωούσης ἐντολῆς τὴν ἀθέτησιν· ὡς
insisting of-the living commandment the setting-aside so-that
ἂν ἢ πόθῳ, ἢ γνώσει, ἢ φόβῳ τὴν τοῦ θανάτου
— either by-longing or by-knowledge or by-fear the of-the death
πεῖραν φυλάξωνται. Τὸ γὰρ ἑκάστου τῶν κτισμάτων
trial they-might-guard-against the for of-each of-the creatures
συμφέρον ὁ Θεὸς φιλεῖ, καὶ γινώσκει, καὶ δύναται. Εἰ
advantage — God loves and knows and is-able if
μὲν οὖν ἐγίνωσκε μόνον, οὐκ ἐφίλει δέ, τάχ' ἂν αὐτὸς
indeed then he-knew only not loved but perhaps — he
εἴργων, ἀτέλεστον ἠφίη τὸ καλῶς γινωσκόμενον·
restraining unaccomplished would-have-let the(-thing) well known
εἰ δ' ἀγαπῶν οὐκ ἐγίνωσκεν, ἢ οὐκ ἐδύνατο, τάχ' ἂν καὶ
if but loving not he-knew or not was-able perhaps — even
μή, τούτου ἑκόντος εἶναι τὸ παρ' αὐτοῦ ποθούμενόν
not him willing to-be the(-thing) by him longed-for
τε καὶ γινωσκόμενον, ἀτέλεστον διετέλεσεν. Ἐπεὶ δὲ τὸ
both and known unaccomplished would-have-remained since but the

συμφέρον ἡμῖν μάλιστα καὶ φιλεῖ καὶ γινώσκει, καὶ δύναται
advantage for-us especially both loves and knows and is-able
ὅ τί ποτ᾽ ἂν μὲν ἡμῖν κἂν ἀκουσίως ἐπέρχηται παρ᾽
what whatever ever — indeed to-us even-if involuntarily it-come from
ἐκείνου, καὶ συμφερόντως πάντως ἡμῖν ἐπέρχεται· πρὸς
him also advantageously by-all-means to-us it-comes to
ὃ δ᾽ ἂν ἡμεῖς, ἑκουσίως αὐτομολήσωμεν, ὡς αὐτεξουσίου
which but — we willingly desert as of-self-determining
τυχόντες φύσεως, πολὺ τὸ δέος, μὴ ἀσύμφορον εἴη.
having-obtained nature much (is)-the fear lest disadvantageous it-be
Ὅταν δὲ καὶ τοῦ Θεοῦ προμηθουμένου, φανερῶς τι
when and also — God foreseeing manifestly anything
τῶν ἁπάντων ἀπαγορευθείη, ὡς ἐν παραδείσῳ, κἂν τῷ
of-the all be-forbidden as in paradise and-in the
Εὐαγγελίῳ τοῦ Κυρίου δι᾽ ἑαυτοῦ, ὡς ἐν τοῖς τοῦ
Gospel of-the Lord through himself as in the —
Ἰσραὴλ ἐκγόνοις διὰ τῶν προφητῶν, ὡς τῷ τῆς
of-Israel descendants through the prophets as in-the of-the
χάριτος νόμῳ διὰ τῶν ἀποστόλων αὐτοῦ καὶ τῶν αὐτῶν
grace law through the apostles his and of-the their
διαδόχων· φανερῶς ἀλυσιτελέστατόν ἐστι καὶ ὀλεθριώτατον,
successors manifestly most-unprofitable it-is and most-destructive
οἴκοθεν ἐκεῖνο ποθεῖν, καὶ πρὸς ἐκεῖνο σπεύδειν, κἄν
of-one's-own that to-long-for and toward that to-hasten even-if
τις τοῦθ᾽ ἡμῖν προτείνῃ, καὶ πρὸς τοῦτο σπεύδειν ἐνάγῃ,
anyone this to-us propose and toward this to-hasten urge
λόγοις πείθων, ἢ προσφιλεῖ θέλγων σχήματι, φανερῶς
by-words persuading or by-friendly charming form manifestly
οὗτος ὑπεναντίος ἡμῶν ἐστι τῇ ζωῇ καὶ πολέμιος.
this(-one) contrary our is to-the life and enemy

48 Ἔδει τοίνυν, ἢ πόθῳ, τοῦ ζῆν ποθοῦντας ἡμᾶς
it-was-needful therefore either by-longing of-the to-live longing us
(τί γὰρ καὶ ζῶντας ἔκτισεν, εἰ μὴ τοῦτ' ἐφίλει
why for also living did-he-create(-us) if not this he-loved
διαφερόντως;), ἢ τῷ γινώσκειν μᾶλλον ἡμῶν εἰδέναι
especially or by-the to-know better than-us to-know
τὸ συμφέρον ἡμῶν ἐκεῖνον (πῶς γὰρ οὐκ ἀσυγκρίτως
the advantage our that(-one) how for not incomparably
μᾶλλον ὁ παρασχὼν ἡμῖν τὴν γνῶσιν καὶ τῶν γνώσεων
more the having-provided to-us the knowledge and of-the knowledges
Κύριος;), ἢ φοβηθέντας αὐτοῦ τὸ παντοδύναμον κράτος,
Lord or having-feared his the almighty might
μὴ κλαπῆναι, μὴ θελχθῆναι, μὴ πεισθῆναι τηνικαῦτα, τὴν
not to-be-stolen not to-be-charmed not to-be-persuaded then the
ἐντολὴν ἐκείνου καὶ συμβουλὴν ἀθετῆσαι, καθάπερ οὐδὲ
commandment his and counsel to-set-aside as not-even
νῦν, τὰς μετ' ἐκείνην ἡμῖν διδομένας σωτηρίους ἐντολάς
now the after that to-us given saving commandments
τε καὶ συμβουλάς. Ἐπεὶ δ' ὥσπερ νῦν οἱ μὴ
both and counsels since but as now the(-ones) not
πρὸς τὴν ἁμαρτίαν ἀντικαθίστασθαι γενναίως αἱρούμενοι,
against the sin to-stand-firm nobly choosing
παρ' οὐδὲν τὰς θείας ἐντολὰς τιθέμενοι, τὴν ἐναντίαν
as nothing the divine commandments setting the opposite
χωροῦσι, ταυτὸν δ' εἰπεῖν, τὴν πρὸς τὸν ἔνδον καὶ
go the-same and to-say the toward the inner and
αἰώνιον θάνατον, ἂν μὴ μετανοίᾳ τὴν ἑαυτῶν ψυχὴν
eternal death unless — by-repentance the their-own soul
ἀνακτήσωνται· τὸν αὐτὸν τρόπον καὶ ἡ ξυνωρὶς ἐκείνη
they-recover the same way also the pair that
τῶν προπατόρων, οὐκ ἀντιστάντες τοῖς ἀπειθῆσαι
of-the forefathers not having-resisted the(-ones) to-disobey

πείθουσι, τὴν ἐντολὴν παρεῖδον, εἰς ἔργον εὐθὺς ἐξέβη
persuading the commandment overlooked into deed at-once went-out
τοῦ σὺν δίκῃ κρίνοντος ἡ προαναπεφωνημένη πρὸς
of-the(-one) with justice judging the proclaimed-beforehand to
αὐτοὺς ἀπόφασις, καὶ κατ᾽ ἐκείνην εὐθὺς ἀπὸ τοῦ ξύλου
them sentence and according-to it at-once from the tree
φαγόντες ἔθανον· καὶ συνῆκαν ἔργῳ, τίς, ἣν ἐπελάθοντο,
having-eaten they-died and understood by-deed what which they-forgot
πρὸς αὐτοὺς ἐντολή, τῆς ἀληθείας, καὶ τῆς ἀγάπης, καὶ
toward them commandment of-the truth and of-the love and
τῆς σοφίας, καὶ τῆς δυνάμεως· καὶ ὑπ᾽ αἰσχύνης ἔκρυπτον
of-the wisdom and of-the power and by shame they-hid
ἑαυτοὺς γυμνωθέντες τῆς δόξης, ἣ ζωοποιεῖ κρειττόνως
themselves stripped of-the glory which makes-alive in-a-better-way
καὶ τὰ ἀθάνατα πνεύματα, ἧς χωρίς, ἡ τῶν πνευμάτων
also the immortal spirits which without the of-the spirits
ζωή, μακρῷ πολλῶν θανάτων χείρων ἐστὶ καὶ πιστεύεται.
life by-far than-many deaths worse is and is-believed
Ὅτι μήπω λυσιτελὲς ἦν ἀπ᾽ ἐκείνου τοῦ ξύλου φαγεῖν 49
that not-yet profitable it-was from that the tree to-eat
τοὺς προπάτορας, δείκνυσιν ὁ λέγων· «Θεωρία γὰρ
for-the forefathers shows the(-one) saying contemplation for
ἦν τὸ φυτόν, ὡς ἡ ἐμὴ θεωρία· ἧς μόνης ἐπιβαίνειν
was the plant as the my contemplation which alone to-enter
ἀσφαλὲς τοῖς τὴν ἕξιν τελεωτέροις· οὐ καλὸν δὲ τοῖς
(is)-safe for-the(-ones) in-the habit more-perfect not good but for-the
ἁπλουστέροις ἔτι, καὶ τὴν ἔφεσιν λιχνοτέροις· ὥσπερ οὐδὲ
simpler still and in-the longing more-greedy as not-even
τροφὴ τελεία λυσιτελὴς τοῖς ἁπαλοῖς ἔτι καὶ δεομένοις
food solid (is)-profitable for-the tender(-ones) still and needing
γάλακτος.» Ἀλλ᾽ εἰ καὶ μὴ πρὸς θεωρίαν ἀναγωγικῶς
milk but if even not to contemplation anagogically

τις ἐθέλει μεταφέρειν ἐκεῖνο τὸ ξύλον, καὶ τὴν ἀπ᾽ ἐκείνου
anyone wishes to-transfer that the tree and the from that
τροφήν, οὐ λίαν δυσχερές, ὡς ἐγῷμαι, συνιδεῖν, ὡς μήπω
food not very hard as I-think to-see that not-yet
λυσιτελὴς ὑπῆρχεν ἔτ᾽ οὖσιν ἀτελέσιν ἐκείνοις αὕτη· δοκεῖ
profitable was still being imperfect for-those this seems
γάρ μοι κατ᾽ αἴσθησιν προσιδεῖν τε καὶ φαγεῖν ἐκεῖθεν,
for to-me in sensation to-look-at both and to-eat from-there
τῶν ἐν τῷ παραδείσῳ δένδρων τελεῖν ἐκεῖνο τὸ ἥδιστον.
of-the in the paradise trees to-be that the sweetest
Ἡ δὲ κατ᾽ αἴσθησιν ἡδίστη τροφή, οὐ τῶν ὄντως
the and in sensation sweetest food not of-the(-things) truly
ἐστὶ καὶ πάντη καλῶν, οὐδὲ τῶν ἀεὶ καλῶν, οὐδὲ
is and altogether good nor of-the(-things) always good nor
τῶν πρὸς πάντας καλῶν· ἀλλὰ τοῖς μὲν οὕτω
of-the(-things) to all good but for-the(-ones) indeed so
χρῆσθαι ταύτῃ δυναμένοις ὡς μὴ ἡττᾶσθαι, καὶ ὁπηνίκα
to-use it able as not to-be-defeated and when
δεῖ, καὶ ἐφ᾽ ὅσον δεῖ, καὶ πρὸς τὴν δόξαν τοῦ
(one)-must and for as-much-as (one)-must and toward the glory of-the(-one)
πεποιηκότος, καλόν· τοῖς δὲ μὴ οὕτω χρῆσθαι ταύτῃ
having-made good for-the(-ones) but not thus to-use it
δυναμένοις, οὐκ ἀγαθόν. Διὰ τοῦτ᾽ οἶμαι καὶ γνωστὸν
able not good because-of this I-think also knowable
ἐκλήθη καλοῦ τε καὶ πονηροῦ τὸ δένδρον ἐκεῖνο. Τελείων
was-called of-good both and evil the tree that of-(the)-perfect
γάρ ἐστι καθ᾽ ἕξιν θείας θεωρίας καὶ ἀρετῆς, προσομιλεῖν
for it-is by habit of-divine contemplation and virtue to-converse
τοῖς ἡδίστοις κατ᾽ αἴσθησιν, καὶ τὸν νοῦν μὴ ἀπάγειν
with-the sweetest(-things) in sensation and the mind not to-lead-away
τῆς πρὸς Θεὸν θεωρίας, καὶ τῶν πρὸς ἐκεῖνον ὕμνων καὶ
from-the toward God contemplation and of-the toward him hymns and

προσευχῶν· ἀλλὰ ταῦθ᾽ ὕλην ποιεῖσθαι καὶ ἀφορμὴν τῆς
prayers but these matter to-make and occasion of-the
πρὸς Θεὸν ἀνατάσεως, καὶ τῆς κατ᾽ αἴσθησιν ἡδονῆς εἰς
toward God stretching-up and the in sensation pleasure to
τέλος κρατεῖν διὰ τῆς νοερᾶς ἐπὶ τὰ κρείττω κινήσεως·
(the)-end to-master through the intellectual toward the better movement
κἂν ἀήθης ᾖ καὶ μεγάλη, καὶ σφοδροτάτη μᾶλλον
even-if unaccustomed it-be and great and most-vehement more
ἔτι διὰ τὸ ἄηθες, μὴ κενοῦν τὸ τῆς ψυχῆς
still because-of the unaccustomedness not to-empty the(-thing) of-the soul
λογιζόμενος πρὸς τὸ κακὸν ὂν ἐκεῖνο τηνικαῦτα, καὶ ἀγαθὸν
reckoning toward the evil being that then and good
νομιζόμενον τῷ κατάκραν ἁλόντι τούτου καὶ ἡττηθέντι.
being-considered by-the(-one) utterly caught by-this and defeated
Συνετέλει τοιγαροῦν τοῖς προπάτορσιν, οἷς ἔδει κατὰ τὸ 50
it-was-useful therefore for-the forefathers who ought in the
ἱερὸν ἐκεῖνο χωρίον διαιτωμένοις, μηδαμῶς ἐπιλελῆσθαι Θεοῦ·
sacred that place living in-no-way to-forget God
ἐγγυμνασθῆναι μᾶλλον ἔτι, καὶ οἷον ἐμπαιδοτριβηθῆναι
to-be-trained more still and as-it-were to-be-exercised
τοῖς ἁπλῶς καὶ ὄντως καλοῖς, καὶ κατὰ θεωρητικὴν ἕξιν
in-the simply and truly good(-things) and in contemplative habit
ἐκτελεσθῆναι· ἀλλὰ μὴ ἀτελέσιν ἔτ᾽ οὖσι, τοῖς μέσως
to-be-perfected but not imperfect still being to-the(-ones) midway
ἔχουσι καὶ πρὸς τὴν τῶν χρωμένων ἰσχὺν πρός γε τὸ
being and toward the of-the users strength toward indeed the
καλόν, ἢ τοὐναντίον ῥᾳδίως μεταγομένοις, εἰς πεῖραν ἰέναι·
good or the-opposite easily led into trial to-go
καὶ ταῦτα τοῖς λίαν κατασπᾷν πεφυκόσι, καὶ ταῖς
and that in-the(-things) very to-draw-down being-wont and in-the
αἰσθήσεσι συνεπικρατοῦσι, καὶ κατασπῶσι τὸν νοῦν ὅλον, καὶ
senses prevailing-with and drawing-down the mind whole and

χώραν διδοῦσι τοῖς πονηροῖς πάθεσι, καὶ πιθανὸν δεικνῦσι
place giving to-the evil passions and persuasive showing
τὸν ἀρχηγὸν καὶ δημιουργὸν τῶν τοιούτων παθῶν, ὧν
the author and maker of-the such passions of-which
ἀρχὴ μετ' ἐκεῖνον ἡ ἐμπαθὴς τῶν ἡδίστων ἐδωδίμων
(the)-beginning after him (is)-the passionate of-the sweetest edible(-things)
τροφή. Εἰ γὰρ ἡ θέα μόνον τοῦ ξύλου ἐκείνου, κατὰ τὴν
food if for the sight only of-the tree that according-to the
ἱστορίαν, εὐπαράδεκτον τὸν ὄφιν εἰργάσατο, καὶ ἀξιόπιστον
history well-received the serpent made and trustworthy
σύμβουλον, πόσῳ μᾶλλον ἡ γεῦσις κἂν τοῖς ἑξῆς; Εἰ δ'
counselor how-much more the taste also-in the following if and
ἡ γεῦσις, πόσῳ μᾶλλον ἡ μετὰ πλησμονῆς ἐδωδή; Ἆρ'
the taste how-much more the with satiety eating (is-it)-then
οὐ σαφὲς ὡς μήπω λυσιτελὲς ἦν, καὶ κατ' αἴσθησιν ἀπ'
not clear that not-yet profitable it-was even in sensation from
ἐκείνου φαγεῖν τοὺς προπάτορας; Ἆρ' οὐ δέον μὴ
that to-eat for-the forefathers (was-it)-then not needful not
κατὰ καιρὸν φαγόντας ἐκεῖθεν, ἐκβεβλῆσθαι τοῦ τοῦ Θεοῦ
in time having-eaten from-there to-be-cast-out of-the — of-God
παραδείσου, ἵνα μὴ βουλευτήριον τῆς κακίας καὶ ἐργαστήριον
paradise that not (a)-council-chamber of-the vice and workshop
τὸν θεῖον ἐκεῖνον χῶρον ποιήσωνται; Ἆρ' οὐχὶ καὶ τοῦ
the divine that place they-might-make (was-it)-then not also of-the
σώματος ἔδει τὸν θάνατον ὑποστῆναι παραυτὰ τηνικαῦτα
body needful the death to-undergo immediately then
τοὺς παραβάντας; Ἀλλ' ἐμακροθύμησεν ὁ Δεσπότης.
the(-ones) having-transgressed but was-long-suffering the Master
51 Ἡ μὲν τοῦ κατὰ ψυχὴν θανάτου ἀπόφασις, ἣν εἰς
the indeed of-the according-to soul death sentence which into
ἔργον ἤγαγεν ἡμῖν ἡ παράβασις κατὰ δικαιοσύνην τοῦ
deed brought on-us the transgression according-to justice of-the

Κτίσαντος· ἐγκαταλιπόντας γὰρ κατέλιπεν ὡς αὐτοβούλους
Creator having-abandoned(-him) for he-left(-them) as self-willed
γεγονότας μὴ βιασάμενος· ἡ μὲν οὖν ἀπόφασις ἐκείνη
having-become not having-forced(-them) the indeed then sentence that
προαναπεφώνηται παρὰ τοῦ Θεοῦ φιλανθρώπως, καθ' ἃς
was-proclaimed-beforehand by — God humanely for which
αἰτίας εἰρήκαμεν· ἀνέσχε δὲ καὶ ὑπερέθετο τὴν ἀπόφασιν τοῦ
causes we-have-said he-held-back but and postponed the sentence of-the
κατὰ σῶμα θανάτου πρότερον, καὶ ἡνίκα ταύτην ἐξήνεγκε
according-to body death first and when it he-brought-out
βάθει σοφίας καὶ φιλανθρωπίας ὑπερβολῇ πρὸς τὸ μέλλον
by-depth of-wisdom and of-love-for-man by-excess for the future
τὴν εἰς ἔργον ἔκβασιν ταύτης ἐταμιεύσατο, μὴ πρὸς τὸν Ἀδὰμ
the into deed outcome of-it he-reserved not to — Adam
εἰπών· Ἐπιστράφηθι ὅθεν ἐλήφθης· ἀλλά, «Γῆ εἶ, καὶ εἰς
having-said return whence you-were-taken but earth you-are and to
γῆν ὑποστρέψεις.» Ἔνι δὲ τοῖς συνετῶς ἀκούουσι
earth you-shall-return it-is-possible and for-the(-ones) intelligently hearing
κἀκ τῶν τοιούτων λόγων ἰδεῖν, ὡς ὁ Θεός, οὐ ψυχῆς,
even-from the such words to-see that — God not of-soul
οὐ σώματος ἐποίησε θάνατον. Οὔτε γὰρ πρότερον εἶπε
not of-body made death neither for before did-he-say
προστάσσων, Θάνετε, ἣν ἂν ἡμέραν φάγητε· ἀλλ',
commanding die on-whatever — day you-eat but
«Ἀποθανεῖσθε ἣν ἂν ἡμέραν φάγητε.» Οὔτε νῦν, Εἰς
you-shall-die on-whatever — day you-eat nor now to
γῆν ἐπίστρεψον, εἶπε, ἀλλ' «ὑποστρέψεις,» προαναγγέλλων
earth return he-said but you-shall-return foretelling
καὶ ἐφιείς, καὶ μὴ κωλύων σὺν δίκῃ τὸ ἐκβησόμενον.
and permitting and not hindering with justice the(-thing) going-to-come-about

52 Ἔμελλε μὲν οὖν τοῖς προπάτορσιν ἐκείνοις ὁ θάνατος
was-going indeed then for-the forefathers those the death
ἕψεσθαι, ὡς καὶ ἡμῖν τοῖς ἔτι περιοῦσιν ἀπόκειται· καὶ
to-follow as also for-us the still surviving it-is-laid-up and
θνητὸν ἡμῖν ἀπετελέσθη τὸ σῶμα. Ἔστι δὲ ὃ καὶ τοῦτο
mortal for-us was-made the body is and which also this
μακρός τις, ὡς εἰπεῖν, θάνατος, μᾶλλον δὲ μυρίοι, κατὰ
long some so to-speak death rather but countless by
διαδοχὴν ἕτερος τὸν ἄλλον ὑποδεχόμενος· ἕως ἂν εἰς τὸν
succession one the other receiving until — at the
ἕνα καὶ τελευταῖον καὶ μακραίωνα καταντήσωμεν. Ἐν
one and last and long-lasting we-arrive in
γὰρ τῷ φθείρεσθαι γινόμεθα· καὶ γινόμενοι παραῤῥέομεν,
for the to-decay we-come-to-be and coming-to-be we-flow-past
μέχρις ἂν τοῦ καὶ παραῤῥεῖν καὶ γίνεσθαι παύσωμεν·
until — the both to-flow-past and to-come-to-be we-cease
καὶ ἐσμὲν ὄντως οὐδέ ποτε οἱ αὐτοί, κἂν δοκῶμεν εἶναι
and we-are truly not ever the same even-if we-seem to-be
τοῖς μὴ προσέχουσιν. Ὥσπερ πῦρ καλάμης λεπτῆς
to-the(-ones) not attending like fire of-straw thin
ἀπ᾽ ἄκρας δραξάμενον· κἀκεῖνο γὰρ ἄλλο τε ἄλλο ὄν,
from (the)-tip having-seized that-also for one(-thing) and another being
μέτρον ὑπάρξεως ἔχει τῆς καλάμης τὸ μῆκος· καὶ ἡμῖν
(as)-measure of-existence has of-the straw the length also for-us
ὁμοίως ἀλλοιουμένοις, μέτρον ἐστὶ τὸ προσὸν ἑκάστῳ
likewise being-altered (the)-measure is the belonging to-each
τοῦ βίου διάστημα.
of-the life interval

53 Ἵνα δὲ καὶ τὴν τῆς φιλανθρωπίας ὑπερβολήν, καὶ τὸ τῆς
that and also the of-the love-for-man excess and the of-the
σοφίας βάθος μὴ παντάπασιν ἀγνοῶμεν, τίνος ἕνεκεν
wisdom depth not altogether we-be-ignorant-of for-what reason

ὑπερθέμενος ὁ Θεὸς τοῦ θανάτου τὸ τέλος, οὐκ ἐπ᾽ ὀλίγον
having-postponed — God of-the death the end not for (a)-little
ἔτι παρέσχε τῷ ἀνθρώπῳ ζῆν; Πρῶτον μὲν ἔδειξε μετ᾽
still granted to-the man to-live first indeed he-showed with
ἐλέους παιδεύων, μᾶλλον δὲ ἐφιεὶς τὴν σὺν δίκῃ παιδείαν,
mercy disciplining rather but letting-go the with justice discipline
ἵνα μὴ ἀπογνῶμεν τελέως. Ἔδωκε δὲ καὶ καιρὸν μετανοίας,
that not we-despair utterly he-gave and also (a)-time of-repentance
καὶ τῆς πρὸς αὐτὸν εὐαρεστήσεως ἐξ ὑπαρχῆς πολιτείας.
and of-the toward him well-pleasing from (a)-beginning way-of-life
Παρεμυθήσατο τῇ ὑπαλλήλῳ γενέσει τοῦ θανάτου τὴν
he-comforted by-the successive generation of-the death the
λύπην. Ηὔξησε τοῖς διαδόχοις τὸ γένος, ὡς καὶ περιεῖναι
grief he-increased by-the successors the race so-as also to-surpass
πολλῷ τῷ μέτρῳ τὴν ἀρχὴν τῶν γεννωμένων τὸ
by-much the measure (from)-the beginning of-the(-ones) being-born the
πλῆθος, τοῦ ἀριθμοῦ τῶν θνησκόντων. Ἀνθ᾽ ἑνὸς τοῦ
multitude of-the number of-the(-ones) dying instead-of one the
δι᾽ αἰσθητοῦ φυτοῦ κάλλους, ἐλεεινοῦ τε καὶ πενιχροῦ
through (a)-sensible plant of-beauty pitiable both and poor
γεγονότος Ἀδάμ, πολλοὺς ἐκ τῶν αἰσθητῶν ἔδειξε
having-become Adam many from the sensible(-things) he-showed
μακαρίως πεπλουτηκότας θεογνωσίαν καὶ ἀρετήν, καὶ
blessedly having-been-enriched (with)-knowledge-of-God and virtue and
γνῶσιν, καὶ εὐμένειαν θείαν· μάρτυς Σήθ, Ἐνώς, Ἐνώχ, Νῶε,
knowledge and favor divine (as)-witness Seth Enosh Enoch Noah
Μελχισεδέκ, Ἀβραάμ, καὶ ὅσοι μεταξὺ τούτων, πρὸ αὐτῶν
Melchizedek Abraham and as-many-as between these before them
τε καὶ μετ᾽ αὐτούς, κἀκείνους ἢ ἐγγὺς ἐκείνων ἀναπεφήνασιν.
both and after them and-those or near those have-appeared
Ἐπεὶ δ᾽ ἐν τούτοις τοῖς τοσούτοις καὶ τηλικούτοις
since but among these the so-many and so-great

οὐδεὶς τελέως ἀναμαρτήτως ἐβίω, ὡς καὶ ἀναπαλαίσασθαι
none perfectly sinlessly lived so-as also to-wrestle-back
δυνηθῆναι τὴν τῶν προπατόρων ἐκείνην ἥτταν, καὶ τῆς τοῦ
to-be-able the of-the forefathers that defeat and of-the of-the
γένους ῥίζης θεραπεῦσαι τὸ τραῦμα, καὶ τοῖς ἑξῆς ἀρκέσαι
race root to-heal the wound and for-the following to-suffice
πρὸς ἁγιασμὸν καὶ εὐλογίαν, καὶ ζωῆς ἐπάνοδον ἅπασι·
for sanctification and blessing and of-life return for-all
καὶ τοῦτ᾽ ἐκεῖνος προῄδει, καὶ τῶν γενῶν κατὰ καιρὸν
and this that(-one) foreknew and of-the generations at (the)-time
ἐκλογὴν ἐποιεῖτο καὶ τῶν φυλῶν, ὅθεν ἂν ἡ πολυύμνητος
(a)-selection made and of-the tribes whence — the much-hymned
ἀναβῇ ῥάβδος, ἐξ ἧς τὸ ἄνθος, δι᾽ οὗ τὴν παντὸς
might-come-up rod from which the flower through which the of-all
τοῦ γένους σωστικὴν οἰκονομίαν ἐκτελέσειν ἔμελλεν.
the race saving dispensation to-accomplish he-was-going

54 Ὦ βάθος πλούτου, σοφίας, καὶ φιλανθρωπίας θείας! Εἰ μὴ
O depth of-(the)-riches of-wisdom and of-love-for-man divine if not
γὰρ ὁ θάνατος ἦν, καὶ πρὸ τοῦ θανάτου θνητὸν ὡς ἐκ ῥίζης
for the death were and before the death mortal as from root
τοιαύτης τὸ ἡμέτερον γένος, οὐκ ἂν ἔργῳ τὴν ἀπαρχὴν τῆς
such the our race not — in-deed the firstfruits of-the
ἀθανασίας ἡμεῖς ἐπλουτήσαμεν, οὐκ ἂν εἰς οὐρανοὺς
immortality we would-have-been-enriched-with not — to heavens
ἀνεκλήθημεν, οὐκ ἂν ὑπεράνω πάσης ἀρχῆς καὶ
we-would-have-been-called-back not — above all rule and
ἐξουσίας ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν οὐρανοῖς ἡ ἡμῶν
authority at (the)-right of-the majesty in heavens the our
ἐνεθρονίσθη φύσις. Οὕτως οἶδε Θεὸς τὰ ἐξ αὐτεξουσίου
would-have-been-enthroned nature thus knows God the from self-determining

παρατροπῆς ἡμῶν ὀλισθήματα τῇ παρ᾽ ἑαυτοῦ σοφίᾳ τε
deviation our slips by-the from himself wisdom both
καὶ δυνάμει μετασκευάζειν φιλανθρώπως ἐπὶ τὸ κρεῖττον.
and power to-transform humanely toward the better
Τάχα πολλοὶ τὸν Ἀδὰμ αἰτιῶνται, πῶς εὐκόλως, τῷ 55
perhaps many — Adam blame how easily by-the
πονηρῷ συμβούλῳ πεισθείς, τὴν θείαν ἠθέτησεν ἐντολήν·
evil counselor persuaded the divine he-set-aside commandment
καὶ διὰ τῆς τοιαύτης ἀθετήσεως ἡμῖν τὸν θάνατον
and through the such setting-aside to-us the death
προεξένησεν. Ἀλλ᾽ οὐκ ἔστιν ἴσον, πρὸ τῆς πείρας ἐθελῆσαι
he-procured but not it-is equal before the trial to-wish
γεύσασθαι θανασίμου τινὸς βοτάνης, καὶ μετὰ τὸ μαθεῖν
to-taste deadly some herb and after the to-learn
διὰ πείρας θανάσιμον οὖσαν, ἀπὸ ταύτης ποθεῖν ἐσθίειν.
through trial deadly being from it to-long to-eat
Μεμπτέος γὰρ μᾶλλον ὁ μετὰ τὴν πεῖραν σπῶν
blameworthy for more (is)-the(-one) after the trial drawing
τοῦ δηλητηρίου, καὶ τὸν θάνατον ἀθλίως πρὸς ἑαυτὸν
of-the poison and the death wretchedly to himself
ἑφελκόμενος, τοῦ πρὸ τῆς πείρας τοῦτο πράττοντός
dragging than-the(-one) before the trial this doing
τε καὶ πάσχοντος. Διὸ καὶ περισσότερον ἡμῶν ἕκαστος
both and suffering wherefore also more our each(-one)
ἢ ὁ Ἀδὰμ ἐκεῖνος μεμπτέος ἐστὶ καὶ κατάκριτος. Ἀλλ᾽ οὐκ
than — Adam that blameworthy is and condemned but not
ἔστιν ἐν ἡμῖν ἐκεῖνο τὸ ξύλον; οὐδὲ τοῦ Θεοῦ νῦν ἐστι πρὸς
is in us that the tree nor — of-God now is to
ἡμᾶς ἐντολή, τὴν ἐκείνου γεῦσιν ἀπαγορεύουσα; Τοῦτ᾽
us (a)-commandment the its taste forbidding this
αὐτὸ μὲν ἐκεῖνο τὸ ξύλον, οὐκ ἔστιν ἐν ἡμῖν ἴσως· ἡ δὲ
itself indeed that the tree not is among us perhaps the but

τοῦ Θεοῦ ἐντολή, καὶ νῦν ἡμῖν πάρεστι, τοὺς μὲν αὐτῇ
— of-God commandment also now to-us is-present the(-ones) indeed it
πειθομένους, καὶ κατ' αὐτὴν ζῇν ἐθέλοντας, τῆς τε τῶν
obeying and according-to it to-live wishing from-the both of-the
οἰκείων ἁπάντων ἁμαρτημάτων εὐθύνης, καὶ τῆς προγονικῆς
own all sins accountability and of-the ancestral
ἀρᾶς καὶ καταδίκης ἐλευθεροῦσα, τοὺς δὲ καὶ νῦν αὐτὴν
curse and condemnation freeing the(-ones) but also now it
ἀθετοῦντας καὶ προτιμῶντας αὐτῆς τὴν τοῦ πονηροῦ
setting-aside and preferring to-it the of-the evil(-one)
προσβολήν τε καὶ συμβουλήν, τῆς ζωῆς ἐκείνης καὶ τῆς
assault both and counsel from-the life that and from-the
ἐν τῷ παραδείσῳ διαγωγῆς οὐκ ἔστι μὴ ἐκπεσεῖν, καὶ
in the paradise living not it-is(-possible) not to-fall-away and
πρὸς τὴν ἠπειλημένην τοῦ αἰωνίου πυρὸς γέενναν ἐμπεσεῖν.
into the threatened of-the eternal fire Gehenna to-fall
56 Τίς οὖν ἐστιν ἡ νῦν ἡμῖν αὕτη προκειμένη τοῦ Θεοῦ ἐντολή;
what then is the now to-us this set-before(-us) — of-God commandment
Ἡ μετάνοια· ἧς τὸ κεφάλαιον, τῶν ἀπηγορευμένων
the repentance of-which the chief-point the forbidden(-things)
μηκέτι ψαύειν. Ἐπεὶ γὰρ ἀπερρίφημεν τοῦ χωρίου τῆς
no-longer to-touch since for we-were-cast-out from-the place of-the
ἐνθέου τρυφῆς, καὶ ἀπεκλείσθημεν τοῦ παραδείσου τοῦ
divine delight and were-shut-out from-the paradise —
Θεοῦ δικαίως, καὶ εἰς τὸ βάραθρον τοῦτο καταπεπτώκαμεν,
of-God justly and into the pit this have-fallen
συνοικεῖν τε καὶ συνδιαιτᾶσθαι τοῖς ἀλόγοις ζώοις
to-dwell both and to-live-with the irrational living-creatures
κατεδικάσθημεν, καὶ ἀνέλπιδες κατέστημεν, τὸ εἰς
we-were-condemned and hopeless were-made as-far-as-it to
ἡμᾶς ἦκον, τῆς πρὸς τὸν παράδεισον ἀνακλήσεως, αὐτὸς
us came of-the to the paradise recall the-very

ὁ δικαιοσύνῃ τότε δίκην ἐπενεγκών, μᾶλλον δὲ
the(-one) with-justice then punishment having-brought rather but
δικαίως ταύτην ἐπελθεῖν ἡμῖν συγχωρήσας, ὑπερβολῇ νῦν
justly it to-come on-us having-permitted with-excess now
φιλανθρωπίας καὶ ἀγαθότητος, διὰ σπλάγχνα ἐλέους
of-love-for-man and goodness because-of (the)-bowels of-mercy
αὐτοῦ, μέχρις ἡμῶν ὑπὲρ ἡμῶν κατῆλθε. Καὶ καθ᾽ ἡμᾶς
his even-to us for us came-down and like us
γενόμενος ἀναμαρτήτως ὡς εὐδόκησεν ἄνθρωπος, ἵνα τῷ
having-become sinlessly as he-was-pleased man that by-the
ὁμοίῳ τὸ ὅμοιον ἀναδιδάξῃ καὶ ἀνασώσηται, τὴν σωτήριον
like the like he-might-re-teach and save the saving
τῆς μετανοίας ἡμῖν εἰσήνεγκε συμβουλήν τε καὶ ἐντολήν·
of-the repentance to-us he-brought counsel both and commandment
πρὸς ἡμᾶς εἰπών· «Μετανοεῖτε, ὅτι ἤγγικεν ἡ βασιλεία
to us having-said repent for has-drawn-near the kingdom
τῶν οὐρανῶν.» Πρὸ μὲν γὰρ τῆς ἐνανθρωπήσεως τοῦ
of-the heavens before indeed for the incarnation of-the
Λόγου τοῦ Θεοῦ, ὅσον ὁ οὐρανὸς ἀπὸ τῆς γῆς ἀπέχει,
Word — of-God as-much-as the heaven from the earth is-distant
τοσοῦτον μακρὰν ἡμῶν ἦν ἡ βασιλεία τῶν οὐρανῶν. Τοῦ
so-much far from-us was the kingdom of-the heavens of-the
δὲ Βασιλέως τῶν οὐρανῶν ἡμῖν ἐνδημήσαντος, καὶ τὴν
but King of-the heavens among-us having-sojourned and the
μεθ᾽ ἡμῶν ἕνωσιν εὐδοκήσαντος, ἤγγικεν ἡμῖν πᾶσιν
with us union having-been-pleased has-drawn-near to-us all
ἡ τῶν οὐρανῶν βασιλεία.
the of-the heavens kingdom
Ἐγγισάσης ἡμῖν τῆς τῶν οὐρανῶν βασιλείας, διὰ 57
having-drawn-near to-us the of-the heavens kingdom through
τῆς πρὸς ἡμᾶς τοῦ Θεοῦ Λόγου συγκαταβάσεως, μὴ
the toward us — of-God Word condescension not

μακρὰν ἡμᾶς αὐτοὺς ἀπὸ ταύτης ποιήσωμεν, ἀμετανοήτως
far us ourselves from it let-us-make unrepentantly
πολιτευόμενοι. Φύγωμεν δὲ μᾶλλον τῶν ἐν σκότει καὶ
living let-us-flee but rather of-the(-ones) in darkness and
σκιᾷ θανάτου καθημένων τὴν ἀθλιότητα· κτησώμεθα
(the)-shadow of-death sitting the wretchedness let-us-acquire
τὰ ἔργα τῆς μετανοίας, φρόνημα ταπεινόν, κατάνυξιν,
the works of-the repentance (a)-mind humble compunction
καὶ πένθος πνευματικόν· καρδίαν πραεῖαν ἐλέου γέμουσαν,
and mourning spiritual (a)-heart meek of-mercy full
δικαιοσύνης ἐρῶσαν, καθαρότητος ἀντιποιουμένην, εἰρηνικήν,
of-righteousness loving of-purity laying-claim-to peaceful
εἰρηνοποιόν, φερέπονον, τοῖς ὑπὲρ ἀληθείας καὶ δικαιοσύνης
peacemaking labor-bearing in-the for truth and righteousness
ἐνασμενίζουσαν, διωγμοῖς, καὶ ζημίαις, καὶ ὕβρεσι, καὶ
delighting persecutions and losses and insults and
συκοφαντίαις καὶ πάθεσιν. Ἡ γὰρ τῶν οὐρανῶν βασιλεία,
false-accusations and sufferings the for of-the heavens kingdom
μᾶλλον δὲ ὁ τῶν οὐρανῶν Βασιλεὺς (ὢ τῆς ἀφάτου
rather but the of-the heavens King O! of-the unspeakable
μεγαλοδωρεᾶς!), ἐντὸς ἡμῶν ἐστιν· ᾧ καὶ διὰ
munificence within us is to-whom also through
τῶν τῆς μετανοίας ἔργων κολλᾶσθαι ἀεὶ ὀφείλομεν,
the of-the repentance works to-cleave always we-ought
ἀγαπῶντες ὡς δυνατὸν τὸν τοσοῦτον ἡμᾶς ἀγαπήσαντα.
loving as (is)-possible the(-one) so-much us having-loved
58 Τὴν πρὸς τὸν Θεὸν ἀγάπην ἀπουσία παθῶν καὶ περιουσία
the toward — God love absence of-passions and abundance
συνίστησι τῶν ἀρετῶν. Τὸ γὰρ πρὸς τὰ πονηρὰ μῖσος, ἀφ᾽
constitutes of-the virtues the for toward the evil(-things) hatred from
οὗπερ ἡ τῶν παθῶν ἀπουσία, τὸν πόθον, καὶ τὴν κτῆσιν
which the of-the passions absence the longing and the acquisition

ἀντεισάγει τῶν ἀγαθῶν. Ὁ δὲ τῶν ἀγαθῶν ἐραστής τε καὶ
brings-in-instead of-the good(-things) the and of-the good(-things) lover both and
κτήτωρ, πῶς οὐκ ἂν διαφερόντως φιλοίη τὸν αὐτάγαθον
possessor how not — especially he-would-love the very-good
Δεσπότην, τὸν μόνον ἀγαθοῦ παντὸς χορηγὸν καὶ φύλακα,
Master the only of-good every supplier and guardian
ἐν ᾧ αὐτός ἐστι κατ᾽ ἐξαίρετον τρόπον, καὶ ὃν διὰ
in whom he is in (an)-exceptional way and whom through
τῆς ἀγάπης ἐν ἑαυτῷ φέρει, κατὰ τὸν εἰπόντα· «Ὁ
the love in himself he-bears according-to the(-one) having-said the(-one)
μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν
abiding in the love in — God abides and — God in
αὐτῷ;» Ἴδοι δ᾽ ἄν τις μὴ μόνον ἐκ τῶν ἀρετῶν τὴν
him might-see and — one not only from the virtues the
πρὸς Θεὸν ἀγάπην, ἀλλὰ καὶ ἐκ τῆς ἀγάπης τὰς ἀρετὰς
toward God love but also from the love the virtues
τικτομένας. Διὸ καὶ ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ ποτὲ
born wherefore also the Lord in the Gospel at-one-time
μέν φησιν· «Ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν
indeed says the(-one) having the commandments my and keeping
αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με·» ἄλλοτε δέ, «Ὁ
them that(-one) is the(-one) loving me at-another and the(-one)
ἀγαπῶν με, τὰς ἐντολάς μου τηρήσει.» Ἀλλ᾽ οὔτε τὰ ἔργα
loving me the commandments my will-keep but neither the works
τῶν ἀρετῶν ἐπαινετά εἰσι καὶ λυσιτελῆ τοῖς πράττουσι
of-the virtues praiseworthy are and profitable to-the(-ones) doing(-them)
χωρὶς ἀγάπης, οὔτε μὴν ἡ ἀγάπη χωρὶς τῶν ἔργων, ὧν
without love nor indeed the love without the works of-which
τὸ μὲν διὰ πολλῶν ὁ Παῦλος δείκνυσι πρὸς Κορινθίους
the indeed through many(-words) — Paul shows to (the)-Corinthians
γράφων· «Ἐὰν ποιήσω τὰ καὶ τά, ἀγάπην δὲ μὴ
writing if I-do these(-things) and those love but not

ἔχω, οὐδὲν ὠφελοῦμαι.» Τὸ δὲ πάλιν ὁ τῷ Χριστῷ
I-have nothing am-I-profited the and again the — by-Christ
ἐξόχως ἠγαπημένος μαθητής, λέγων· «Μὴ ἀγαπῶμεν
especially beloved disciple saying not let-us-love
λόγῳ, μηδὲ τῇ γλώσσῃ, ἀλλ' ἔργῳ καὶ ἀληθείᾳ.»
in-word nor with-the tongue but in-deed and truth

XIII · GREGORY PALAMAS, ONE HUNDRED AND FIFTY CHAPTERS, 59–89

Man surpasses the angels in being according to the image, though they exceed him in likeness; the illumination of the saints is uncreated, and God is united to the worthy not by essence but by his working.

59 Ὁ ἀνωτάτω καὶ προσκυνητὸς Πατήρ, Πατὴρ αὐτοαληθείας
the highest and worshipful Father Father of-Truth-itself
ἐστί· δηλονότι τοῦ μονογενοῦς Υἱοῦ. Καὶ Πνεῦμα ἀληθείας
he-is clearly of-the only-begotten Son and (a)-Spirit of-truth
ἔχει τὸ Πνεῦμα τὸ ἅγιον· καθὰ καὶ προϋπέδειξεν ὁ
he-has the Spirit the holy as also showed-beforehand the
τῆς ἀληθείας Λόγος. Οἱ οὖν ἐν αὐτοῖς τοῦτον
of-the truth Word the(-ones) then in them him
προσκυνοῦντες, καὶ οὕτω πιστεύοντες, καὶ ὡς διὰ
worshiping and so believing and as through
τούτων ἐνεργούμενοι· «Τὸ Πνεῦμα γάρ ἐστι, φησὶν
these being-worked the Spirit for it-is says
ὁ Ἀπόστολος, δι' οὗ προσκυνοῦμεν, καὶ δι' οὗ
the Apostle through which we-worship and through which
προσευχόμεθα·» καί, «Οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα
we-pray and no-one comes to the Father
εἰ μὴ δι' ἐμοῦ,» ὁ τοῦ Θεοῦ Μονογενής φησιν· οἱ
if not through me the — of-God Only-begotten says the(-ones)

οὖν οὕτως ἐν πνεύματι καὶ ἀληθείᾳ τὸν ἀνωτάτω Πατέρα
then thus in spirit and truth the highest Father
προσκυνοῦντες, οὗτοί εἰσιν οἱ ἀληθινοὶ προσκυνηταί.
worshiping these are the true worshipers
«Πνεῦμα ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτόν, ἐν 60
(a)-spirit — (is)-God and the(-ones) worshiping him in
πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν·» τουτέστιν
spirit and truth (one)-must to-worship that-is
ἀσωμάτως τὸν ἀσώματον ἐννοοῦντας. Οὕτω γὰρ καὶ ἀληθῶς
bodilessly the bodiless conceiving thus for also truly
ὄψονται τοῦτον πανταχοῦ, ἐν τῷ Πνεύματι καὶ τῇ ἀληθείᾳ
they-will-see him everywhere in the Spirit and the truth
αὐτοῦ. Ὡς μὲν γὰρ Πνεῦμα ὑπάρχων ὁ Θεός, ἀσώματός
his as indeed for Spirit being — God bodiless
ἐστι· τὸ δὲ ἀσώματον οὐκ ἐν τόπῳ ἐστίν, οὐδὲ τοπικοῖς
is the and bodiless not in place is nor by-local
ὁρίοις περιγράφεται. Οὐκοῦν ὁ λέγων ἐν ὡρισμένῳ
bounds is-circumscribed therefore the(-one) saying in defined
τινὶ τῶν ἁπανταχοῦ γῆς καὶ οὐρανοῦ τόπων δεῖν
some of-the all-over earth and heaven places (one)-must
προσκυνεῖσθαι τὸν Θεόν, οὐκ ἀληθῶς φησιν, οὐδ' ἀληθῶς
to-worship — God not truly speaks nor truly
προσκυνεῖ. Ὡς μὲν γὰρ ἀσώματος ὁ Θεός, οὐδαμοῦ· ὡς
worships as indeed for bodiless — God (is)-nowhere as
δὲ Θεός, πανταχοῦ. Εἰ γὰρ ἔστιν ὅρος ἢ τόπος ἢ κτίσις,
but God everywhere if for there-is (a)-limit or place or creature
οὗ μὴ ἔστιν ὁ Θεός, εὑρεθήσεται περιγραφόμενος ἔν
where not is — God be-will-be-found circumscribed in
τινι. Πανταχοῦ οὖν, ἀόριστος γάρ· πᾶς οὖν πανταχοῦ,
something everywhere then unbounded for whole then everywhere
ὡς οὐχ ὑπὸ μέρους, ἀλλ' ὑπὸ τοῦ παντὸς περιεχόμενος;
as not by (a)-part but by the whole contained

Οὐμενοῦν· σῶμα γὰρ ἔσται πάλιν. Οὐκοῦν ὡς τὸ πᾶν
no-indeed (a)-body for he-will-be again therefore as the all
συνέχων καὶ περιέχων, αὐτός ἐστιν ἐν ἑαυτῷ, πανταχοῦ
holding-together and embracing he is in himself everywhere
τε καὶ ὑπὲρ τὸ πᾶν· προσκυνούμενος παρὰ τῶν ἀληθινῶν
both and beyond the all worshiped by the true
προσκυνητῶν, ἐν τῷ Πνεύματι καὶ τῇ ἀληθείᾳ αὐτοῦ.
worshipers in the Spirit and the truth his

61 Ὁ ἄγγελος καὶ ἡ ψυχὴ ἀσώματα ὄντα, οὐκ ἐν τόπῳ
the angel and the soul bodiless being not in place
ἐστίν, ἀλλ᾽ οὐχὶ καὶ πανταχοῦ ἐστιν· οὐ γὰρ συνέχουσι
are but not also everywhere they-are not for they-hold-together
τὸ πᾶν· ἀλλὰ καὶ αὐτὰ δεῖται τοῦ συνέχοντος. Οὐκοῦν
the all but also they need the(-one) holding-together therefore
καὶ αὐτὰ ἐν τῷ συνέχοντι καὶ περιέχοντι τὸ πᾶν, ὑπ᾽
also they in the(-one) holding-together and embracing the all by
αὐτοῦ καταλλήλως ὁριζόμενα· ἡ μέντοι ψυχὴ συνέχουσα
him correspondingly bounded the however soul holding-together
τὸ σῶμα ᾧ καὶ ἐκτίσθη, πανταχοῦ τοῦ σώματός
the body with-which also it-was-created everywhere of-the body
ἐστιν, οὐχ ὡς ἐν τόπῳ, οὐδ᾽ ὡς περιεχομένη, ἀλλ᾽ ὡς
is not as in place nor as contained but as
συνέχουσά τε καὶ περιέχουσα, καὶ ζωοποιοῦσα τοῦτο
holding-together both and embracing and making-alive it
κατ᾽ εἰκόνα καὶ τοῦτ᾽ ἔχουσα Θεοῦ.
according-to (the)-image also this having of-God

62 Οὐ κατὰ τοῦτο μόνον μᾶλλον τῶν ἀγγέλων ὁ ἄνθρωπος
not by this only more than-the angels the man
κατ᾽ εἰκόνα πεποίηται Θεοῦ, ὅτι συνεκτικήν τε καὶ
according-to (the)-image has-been-made of-God that sustaining both and
ζωοποιὸν ἔχει δύναμιν ἐν ἑαυτῷ, ἀλλὰ καὶ κατὰ τὸ
life-giving he-has power in himself but also by the

ἄρχειν. Ἔστι γὰρ ἐν τῇ τῆς καθ' ἡμᾶς ψυχῆς φύσει,
to-rule there-is for in the of-the according-to us soul nature
τὸ μὲν ἡγεμονικόν τε καὶ ἀρχικόν· τὸ δὲ φύσει
the(-part) indeed ruling both and governing the(-part) and by-nature
δουλεῦόν τε καὶ ὑπήκοον· θέλησις, ὄρεξις, αἴσθησις καὶ
serving both and obedient will appetite sensation and
ἁπλῶς ὅσα μετὰ τὸν νοῦν, τῷ νῷ συνεκτίσθη
simply as-many-as after the mind with-the mind were-co-created
παρὰ Θεοῦ, κἂν ἡμεῖς ἔστιν ἐφ' ὧν φιλαμαρτήμονι
by God even-if we there-are(-things) in which by-sin-loving
γνώμῃ, μὴ τοῦ Θεοῦ καὶ Παντοκράτορος μόνον, ἀλλὰ καὶ
judgment not — of-God and Almighty only but also
τοῦ προσόντος ἡμῖν ἐμφύτως αὐτοκράτορος ἀφηνιάζομεν.
of-the belonging to-us innately self-ruler we-throw-off-the-reins
Ὁ μέντοι Θεὸς διὰ τὸ ἐν ἡμῖν ἀρχικόν, καὶ τῆς γῆς
— however God because-of the in us governing(-part) also of-the earth
ἁπάσης παρέσχε τὴν κυριότητα. Ἄγγελοι δὲ συνεζευγμένον
all provided the lordship angels and yoked
σῶμα οὐκ ἔχουσιν, ὡς καὶ ὑπεζευγμένον ἔχειν τῷ
body not have so-as also subjected to-have to-the
νῷ. Τὴν δὲ νοερὰν θέλησιν, οἱ μὲν ἐκπεσόντες
mind the and intellectual will the(-ones) indeed having-fallen
διηνεκῶς κέκτηνται πονηράν· οἱ δὲ ἀγαθοί, διηνεκῶς
continually have evil the(-ones) and good continually
ἀγαθήν, καὶ ἡνιόχου μηδαμῶς δεομένην. Τὸ δ' ἐπίγειον
good and of-(a)-charioteer in-no-way needing the and earthly
κράτος, ὁ μὲν πονηρὸς οὐκ εἶχεν, ἀλλ' ἥρπασεν· ὅθεν
dominion the indeed evil(-one) not had but seized whence
δῆλον ὡς οὐκ ἄρχων ἐκτίσθη τῆς γῆς. Οἱ δὲ ἀγαθοὶ
(it-is)-clear that not (as)-ruler he-was-created of-the earth the and good
τῶν ἀγγέλων, ἐπισκοπεῖν τὰ κατ' αὐτὴν ὑπὸ τοῦ
of-the angels to-oversee the(-things) on it by —

Παντοκράτορος προσετάχθησαν, μετὰ τὴν ἡμῶν ἔκπτωσιν,
Almighty were-commanded after the our fall
καὶ διὰ ταύτην, τῆς ἀξίας, εἰ καὶ μὴ παντελῆ διὰ
and because-of it of-the dignity if even not complete because-of
φιλανθρωπίαν καθαίρεσιν. Τὰ γὰρ ὅρια τῶν ἀγγέλων,
love-for-man degradation the for bounds of-the angels
ὡς ὁ Μωϋσῆς ἐν τῇ ᾠδῇ φησιν, ἔστησεν ὁ Θεός, ὅτε
as — Moses in the song says set — God when
διεμέριζεν ἔθνη· ὁ δὲ διαμερισμὸς οὗτος, μετὰ τὸν Κάϊν
he-divided (the)-nations the and division this after — Cain
καὶ τὸν Σὴθ ἐγεγόνει· τῶν μὲν ἐκ τοῦ Κάϊν καλουμένων
and — Seth had-happened of-the indeed from — Cain called
ἀνθρώπων, τῶν δὲ ἐκ τοῦ Σὴθ καταγομένων, υἱῶν
men of-the(-ones) and from — Seth descended sons
Θεοῦ κεκλημένων· διαμερίζοντος ἐμοὶ δοκεῖν ἔκτοτε τοῦ
of-God called dividing to-me to-seem from-then the
ὀνόματος, καὶ προκαταγγέλλοντος τὸ γένος, ἐξ οὗ
name and announcing-beforehand the race from which
σάρκα λήψεσθαι ἔμελλεν ὁ τοῦ Θεοῦ μονογενὴς Υἱός.
flesh to-take was-going the — of-God only-begotten Son

63 Εἴποι δ' ἄν τις σὺν πολλοῖς ἑτέροις, καὶ τὸ τριαδικὸν τῆς
might-say and — one with many others also the trinitarian of-the
ἡμετέρας γνώσεως, μᾶλλον ἡμᾶς τῶν ἀγγέλων δεικνύειν
our knowledge more us than-the angels to-show
κατ' εἰκόνα τοῦ Θεοῦ· οὐ μόνον ὅτι τριαδικόν, ἀλλ' ὅτι
according-to (the)-image — of-God not only that (it-is)-trinitarian but that
καὶ συμπεριβάλλει γνώσεως ἅπαν εἶδος. Μόνοι γὰρ ἡμεῖς
also it-embraces of-knowledge every form alone for we
τῶν κτισμάτων ἁπάντων, πρὸς τῷ νοερῷ τε καὶ λογικῷ,
of-the creatures all besides the intellectual both and rational
καὶ τὸ αἰσθητικὸν ἔχομεν· ὃ τῷ λογικῷ συνημμένον
also the sensitive(-part) have which with-the rational joined

εἶναι πεφυκός, τεχνῶν τε καὶ ἐπιστημῶν, καὶ γνώσεων
to-be being-natural of-arts both and sciences and knowledges
ἐξεῦρε πολυειδέστατον πληθύν· γεωργεῖν τε καὶ οἰκοδομεῖν,
discovered (a)-most-manifold multitude to-farm both and to-build
καὶ προάγειν ἐκ μὴ ὄντων, εἰ καὶ μὴ ἐκ μηδαμῶς
and to-bring-forth from not being(-things) if even not from in-no-way
ὄντων (τοῦτο γὰρ Θεοῦ), μόνῳ παρέσχε τῶν ἀνθρώπων.
being(-things) this for of-God alone granted of-the men
Γίνεται γὰρ σχεδὸν οὐδὲν οὐδὲ φθείρεται τῶν παρὰ
comes-to-be for almost nothing nor perishes of-the(-things) by
Θεοῦ τελουμένων· κιρνώμενον δ' ἄλλο πρὸς ἄλλο τῶν
God accomplished mingled but one with another of-the(-things)
παρ' ἡμῖν, μορφὴν ἑτέραν παρίστησιν· ἔτι τε μήν, καὶ τὸ
among us form other presents further and indeed also the
τὸν ἀόρατον τοῦ νοῦ λόγον, οὐ μόνον ὑπ' ἀκοῆς αἴσθησιν
the invisible of-the mind word not only by hearing (a)-perception
γίνεσθαι ἀέρα ἐνημμένον, ἀλλὰ καὶ καταγράφεσθαι, καὶ
to-become air fastened-on but also to-be-written-down and
μετὰ σώματος καὶ διὰ σώματος ὁρᾶσθαι, παρέσχε τοῖς
with body and through body to-be-seen granted to-the
ἀνθρώποις μόνοις ὁ Θεός· πρὸς πίστιν ἐνάγων διαρκῆ
men alone — God to faith leading lasting
τῆς τοῦ ἀνωτάτω Λόγου διὰ σαρκὸς ἐπιδημίας τε καὶ
of-the of-the highest Word through flesh sojourning both and
ἐμφανείας· ὧν οὐδὲν οὐδαμῶς μέτεστιν ἀγγέλοις.
manifestation of-which nothing in-no-way belongs to-angels
Ἀλλ' εἰ καὶ τὸ κατ' εἰκόνα μᾶλλον ἡμεῖς τῶν 64
but if even the according-to (the)-image more we than-the
ἀγγέλων ἔχομεν καὶ μέχρι νῦν, πρὸς τὸ καθ'
angels have also until now in-relation-to the according-to
ὁμοίωσιν εἶναι τοῦ Θεοῦ, πολλῷ ἐλαττούμεθα, καὶ μάλιστα
likeness to-be — of-God by-much we-fall-short and especially

νῦν, τῶν ἀγαθῶν ἀγγέλων. Ἵνα γὰρ τὰ ἄλλα νῦν
now than-the good angels that for the other(-things) now
ἀφῶ, ἡ τελείωσις τοῦ καθ' ὁμοίωσιν εἶναι τοῦ
I-may-leave the perfection of-the according-to likeness to-be —
Θεοῦ, διὰ τῆς ἐκ Θεοῦ θείας ἐλλάμψεως τελεῖται, ἧς
of-God through the from God divine illumination is-accomplished of-which
ἐστερῆσθαι μὲν τοὺς πονηροὺς ἀγγέλους, διὸ καὶ ὑπὸ
to-be-deprived indeed the evil angels wherefore also under
ζόφον γεγενῆσθαι· ἐμφορεῖσθαι δὲ τοὺς θείους νόας· διὸ
gloom to-have-come to-be-filled but the divine minds wherefore
καὶ δεύτερον καλεῖσθαι φῶς, καὶ τοῦ πρώτου φωτὸς
also second to-be-called light and of-the first light
ἀποῤῥοήν, οὐδένα ἂν οἶμαι ἀγνοεῖν, τῶν ἐπιμελῶς καὶ
(an)-outflow no-one — I-think to-be-ignorant of-the(-ones) carefully and
μετὰ συνέσεως ἐντυγχανόντων τοῖς θεοπνεύστοις λογίοις.
with understanding reading the God-inspired oracles
Ἔχουσι δὲ ἐντεῦθεν οἱ ἀγαθοὶ τῶν ἀγγέλων καὶ τὴν τῶν
they-have and from-here the good of-the angels also the of-the
αἰσθητῶν γνῶσιν· οὐ γὰρ αἰσθητικῇ καὶ φυσικῇ δυνάμει
sensible(-things) knowledge not for by-sensitive and natural power
τούτων ἀντιλαμβάνονται, ἀλλὰ θεοειδεῖ δυνάμει γινώσκουσιν
these they-grasp but by-godlike power they-know
αὐτά· ἧς μηδὲν τῶν ὁπωσδήποτε παρόντων ἢ
them from-which nothing of-the(-things) in-any-way present or
παρῳχηκότων, ἢ μελλόντων ἀποκρύπτεσθαι δύναται.
past or future to-be-bidden can
65 Ταύτης τῆς ἐλλάμψεως οἱ μετέχοντες, μέτρῳ ταύτην
of-this the illumination the(-ones) partaking by-measure it
ἔχοντες, ἀναλόγως τῷ μέτρῳ, καὶ τὴν γνῶσιν ἔχουσι
having proportionately to-the measure also the knowledge have
τῶν ὄντων. Ὅτι δὲ καὶ οἱ ἄγγελοι μετέχουσιν αὐτῆς,
of-the (things)-being that and also the angels partake of-it

καὶ ὅτι ἄκτιστός ἐστι, καὶ ὡς ἡ θεία οὐσία οὐκ ἔστι,
and that uncreated it-is and that the divine essence not it-is
πάντες μὲν ἴσασιν οἱ τοῖς θεοσόφοις ἀποστόλοις
all indeed know the(-ones) the God-wise apostles
καὶ θεολόγοις ἐμμελῶς ἐντυγχάνοντες. Ἐπεὶ δὲ οἱ τὰ
and theologians carefully reading since but the(-ones) the
ἐναντία φρονοῦντες, βλασφημοῦσιν εἰς τὴν θείαν ταύτην
contrary thinking blaspheme against the divine this
ἔλλαμψιν, ἢ κτίσμα ταύτην, ἢ οὐσίαν εἶναι τοῦ Θεοῦ
illumination either (a)-creature it or (the)-essence to-be — of-God
διατεινόμενοι· καὶ ἡνίκα ἂν κτίσμα λέγουσιν αὐτήν, οὐ
insisting and when — (a)-creature they-call it not
συγχωροῦσιν εἶναι τῶν ἀγγέλων ταύτην φῶς· παρίτω
they-allow to-be of-the angels it light let-come-forward
νῦν ὁ ἐξ Ἀρείου πάγου θεοφάντωρ, ὡς ἐν βραχεῖ καὶ
now the from (the)-of-Ares hill revealer-of-God as in brief also
τὰ τρία ταυτὶ διασαφῶν. Κυκλικῶς γάρ, φησίν, οἱ θεῖοι
the three these making-clear circularly for he-says the divine
κινούμενοι νόες, ἑνοῦνται ταῖς ἀνάρχοις καὶ ἀτελευτήτοις
moving minds are-united to-the unoriginate and endless
ἐλλάμψεσι τοῦ καλοῦ καὶ ἀγαθοῦ. Ὅτι μὲν οὖν θείους
illuminations of-the beautiful and good that indeed then divine
νόας τοὺς ἀγαθοὺς ἀγγέλους φησί, τοῖς πᾶσι δῆλον·
minds the good angels he-calls to-the all (is)-clear
πληθυντικῶς δὲ ταύτας τὰς ἐλλάμψεις προενεγκών, τῆς
in-the-plural and these the illuminations having-brought-forth from-the
τοῦ Θεοῦ διέστειλεν οὐσίας· μία γὰρ ἐκείνη καὶ παντάπασιν
— of-God he-distinguished essence one for (is)-that and altogether
ἀδιαίρετος. Ἀνάρχους δὲ καὶ ἀτελευτήτους προσειπών,
indivisible unoriginate moreover and endless having-called(-them)
τί ἄλλο ἢ ἀκτίστους εἶναι παρέστησεν ἡμῖν;
what else than uncreated to-be presented to-us

66 Ταύτης τῆς θείας ἐλλάμψεώς τε καὶ λαμπρότητος,
of-this the divine illumination both and brightness
γεγυμνωμένην τὴν ἡμῶν φύσιν ἐκ παραβάσεως, τῆς
stripped the our nature from transgression of-the
ἀσχημοσύνης ἐλεήσας ὁ τοῦ Θεοῦ Λόγος, καὶ διὰ
unseemliness having-pitied the — of-God Word and because-of
σπλάγχνα ἐλέους ἀναλαβόμενος, ἐνδεδυμένην ἐπιφανέστερον
(the)-bowels of-mercy having-taken-up(-it) clothed more-manifestly
ἐπὶ τοῦ Θαβωρίου, τῶν μαθητῶν τοῖς ἐγκρίτοις πάλιν
on — Tabor of-the disciples to-the chosen again
ὑπέδειξε, τίποτε ἦμεν ἦν ὅτε· καὶ τίνες ἐπὶ τοῦ
showed what we-were there-was when and what in the
μέλλοντος αἰῶνος ἐσόμεθα δι᾽ αὐτοῦ, εἰ κατ᾽ αὐτὸν
coming age we-shall-be through him if according-to him
ὡς δυνατὸν ἐνταῦθα ζῆσαι προελοίμεθα παριστάς· ὡς καὶ
as (is)-possible here to-live we-should-choose presenting(-it) as also
ὁ χρυσοῦς τὴν γλῶτταν Ἰωάννης φησίν.
the golden the tongue John says

67 Ταύτης τῆς θείας ἐλλάμψεώς τε καὶ λαμπρότητος, καὶ
of-this the divine illumination both and brightness also
ὁ Ἀδὰμ μέτοχος ὑπάρχων πρὸ τῆς παραβάσεως, ὡς
— Adam (a)-partaker being before the transgression as
ὄντως στολὴν ἠμφιεσμένος δόξης, οὐχ ὑπῆρχε γυμνός·
truly (a)-robe clothed-in of-glory not was naked
ἀλλὰ πολλῷ κοσμιώτερος οὐδ᾽ ὅσον εἰπεῖν, τῶν
but by-much more-adorned nor as-much-as to-say than-the(-ones)
νῦν περικειμένων τὰ χρυσῷ πολλῷ, καὶ διαυγέσι λίθοις
now worn the with-gold much and translucent stones
κοσμούμενα διαδήματα. Ταύτην τὴν θείαν ἔλλαμψιν καὶ
adorned diadems this the divine illumination and
χάριν, καὶ ὁ μέγας Παῦλος οὐράνιον οἰκητήριον ἡμῶν
grace also the great Paul heavenly dwelling our

καλεῖ λέγων, «Ἐν τούτῳ στενάζομεν, τὸ οἰκητήριον ἡμῶν
calls saying in this we-groan the dwelling our
τὸ ἐξ οὐρανοῦ ἐνδύσασθαι ἐπιποθοῦντες· εἴγε καὶ
the(-one) from heaven to-put-on longing if-indeed also
ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα.» Ταύτης τῆς θείας
having-put-on not naked we-shall-be-found of-this the divine
ἐλλάμψεως καὶ τοῦ κατ᾽ αὐτὴν ἐνδύματος τὸν ἀῤῥαβῶνα,
illumination and of-the according-to it garment the pledge
καὶ αὐτὸς ὁ Παῦλος ἔλαβε παρὰ Θεοῦ, ἐξ Ἱερουσαλὴμ
also the-very — Paul received from God from Jerusalem
πρὸς Δαμασκὸν ἀπιών, ἵν᾽ εἴπω κατὰ τὸν θεολογίας
to Damascus going that I-may-say according-to the of-theology
φερωνύμως ἐπώνυμον Γρηγόριον, πρὶν καθαρθῆναι τῶν
aptly named Gregory before to-be-cleansed of-the
διωγμῶν, τῷ διωκομένῳ προσομιλήσας, μᾶλλον δὲ
persecutions to-the(-one) persecuted having-conversed rather but
βραχείᾳ τοῦ μεγάλου φωτὸς λαμπηδόνι.
(with)-brief of-the great light (a)-flash
Ἡ μὲν θεία ὑπερουσιότης οὐδέ ποτε πληθυντικῶς καλεῖται· 68
the indeed divine superessentiality not-even ever in-the-plural is-called
ἡ δὲ τοῦ Θεοῦ θεία καὶ ἄκτιστος χάρις καὶ ἐνέργεια,
the but — of-God divine and uncreated grace and working
μεριζομένη ἀμερίστως, κατ᾽ εἰκόνα τῆς ἡλιακῆς ἀκτῖνος,
divided indivisibly according-to (the)-image of-the solar ray
ἣ καὶ θερμαίνει, καὶ φωτίζει, καὶ ζωοποιεῖ, καὶ αὔξει,
which both warms and illumines and makes-alive and increases
τοῖς τε λαμπομένοις τὴν οἰκείαν ἐνίησι λαμπρότητα,
to-the(-things) both shone-upon the own puts-in brightness
καὶ τοῖς ὀφθαλμοῖς τῶν ὁρώντων ἐπιφαίνεται. Κατὰ
and to-the eyes of-the(-ones) seeing appears according-to
ταύτην γοῦν ὡς κατ᾽ ἀμυδρὰν εἰκόνα, καὶ ἡ θεία τοῦ
this then as according-to (a)-faint image also the divine —

Θεοῦ ἐνέργεια, οὐ μία μόνον, ἀλλὰ καὶ πολλαὶ καλοῦνται
of-God working not one only but also many are-called
παρὰ τῶν θεολόγων, ὡς καὶ Βασίλειος ὁ μέγας. Αἱ δὲ
by the theologians as also Basil the great the and
ἐνέργειαι, φησί, τοῦ Πνεύματος τίνες; Ἄῤῥητοι μὲν
workings he-says of-the Spirit what(-are-they) ineffable indeed
διὰ τὸ μέγεθος, ἀνεξαρίθμητοι δὲ διὰ τὸ πλῆθος.
because-of the greatness innumerable and because-of the multitude
Πῶς γὰρ νοήσωμεν τὰ τῶν αἰώνων ἐπέκεινα; τίνες
how for shall-we-conceive the(-things) of-the ages beyond what
ἦσαν αὐτοῦ πρὸ τῆς νοητῆς κτίσεως αἱ ἐνέργειαι; Πρὸ
were his before the intelligible creation the workings before
γοῦν τῆς νοητῆς κτίσεως καὶ τῶν αἰώνων ἐπέκεινα (καὶ
then the intelligible creation and of-the ages beyond and
γὰρ καὶ οἱ αἰῶνες νοητὰ κτίσματά εἰσι) κτιστὸν οὐδείς
for also the ages intelligible creatures are created no-one
ποτ᾽ εἶπεν, οὐδὲ ἐνενόησεν. Ἄκτιστοι τοιγαροῦν αἱ τοῦ
ever said nor conceived uncreated therefore the of-the
θείου Πνεύματος δυνάμεις τε καὶ ἐνέργειαι· τῷ καὶ
divine Spirit powers both and workings by-the also
πολλαὶ θεολογεῖσθαι, ἀμερίστως τῆς μιᾶς καὶ παντάπασιν
many to-be-theologized indivisibly from-the one and altogether
ἀμερίστου τοῦ Πνεύματος οὐσίας διαστελλόμεναι.
indivisible of-the Spirit essence distinguished
69 Ἡ τοῦ Θεοῦ ἄκτιστος ἐνέργεια, μεριζομένη ἀμερίστως,
the — of-God uncreated working divided indivisibly
καὶ πληθυντικῶς προάγεται παρὰ τῶν θεολόγων, ὡς
also in-the-plural is-put-forward by the theologians as
ἀνωτέρω καὶ Βασιλείῳ τῷ μεγάλῳ διατετράνωται. Ἐπεὶ
above also by-Basil the great has-been-made-clear since
τοίνυν καὶ ἡ θεία καὶ θεοποιὸς ἔλλαμψις καὶ χάρις οὐκ
therefore also the divine and deifying illumination and grace not

οὐσία, ἀλλ᾽ ἐνέργειά ἐστι Θεοῦ, διὰ τοῦτο καὶ αὕτη
(an)-essence but (a)-working is of-God because-of this also it
οὐ χρονικῶς μόνον, ἀλλὰ καὶ πληθυντικῶς προάγεται,
not temporally only but also in-the-plural is-put-forward
ἀναλόγως τοῖς μετέχουσι χορηγουμένη· καὶ κατὰ
proportionately to-the(-ones) partaking supplied and according-to
τὴν ἐπιτηδειότητα τῶν ὑποδεχομένων, ἐπὶ μᾶλλον καὶ
the fitness of-the (ones)-receiving to more and
ἧττον ἐνιεῖσα τὴν θεοποιὸν λαμπρότητα.
less putting-in the deifying brightness
Ταύτας τὰς ἐνεργείας, ἑπτὰ ὁ Ἡσαΐας εἶπε. Πολλὰ 70
these the workings seven — Isaiah called many
δὲ παρ᾽ Ἑβραίοις σημαίνει τὸ ἑπτά. «Ἀναβήσεται γάρ,
and among Hebrews signifies the seven shall-come-up for
φησί, ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ
he-says (a)-rod from the root of-Jesse and (a)-flower from
αὐτῆς ἀναβήσεται· καὶ ἐπαναπαύσεται ἐπ᾽ αὐτὸν ἑπτὰ
it shall-come-up and shall-rest upon him seven
πνεύματα· πνεῦμα σοφίας, συνέσεως, γνώσεως, εὐσεβείας,
spirits (a)-spirit of-wisdom of-understanding of-knowledge of-piety
βουλῆς, ἰσχύος, φόβου.» Ταῦτα τὰ ἑπτὰ πνεύματα, κτιστὰ
of-counsel of-strength of-fear these the seven spirits created
φρενοβλαβῶς, οἱ τὰ τῶν αἱρετικῶν φρονοῦντες,
insanely the(-ones) the(-things) of-the heretics thinking
εἶναι διατείνονται. Οὓς κἀν τοῖς διὰ πλάτους πρὸς αὐτοὺς
to-be insist whom also-in the at length against them
Ἀντιῤῥητικοῖς προσθέντες, διαρκῶς ἀπηλέγξαμεν. Ἀλλὰ καὶ
Antirrhetics having-set-forth sufficiently we-refuted but also
Γρηγόριος ὁ Θεολόγος, τῶν θείων τούτων τοῦ Πνεύματος
Gregory the Theologian of-the divine these of-the Spirit
ἐνεργειῶν μνησθείς, Τὰς ἐνεργείας, φησί, τοῦ Πνεύματος
workings having-mentioned the workings he-says of-the Spirit

πνεύματα φίλον τῷ Ἠσαΐᾳ καλεῖν. Καὶ αὐτὸς δὲ ὁ τῶν
spirits (it-is)-dear — to-Isaiah to-call and the-very and the of-the
προφητῶν μεγαλοφωνότατος, οὐ τὴν πρὸς τὴν θείαν
prophets most-loud-voiced not the as-against the divine
μόνον οὐσίαν διαφορὰν ἐναργῶς ἔδειξε διὰ τοῦ ἀριθμοῦ,
only essence difference clearly showed through the number
ἀλλὰ καὶ τὸ ἄκτιστον τῶν θείων τούτων παρέστησεν
but also the uncreatedness of-the divine these he-presented
ἐνεργειῶν, διὰ τῆς τοῦ ἐπαναπαύεσθαι φωνῆς. Τὸ γὰρ
workings through the of-the to-rest-upon word the for
ἐπαναπαύεσθαι ὑπεροχικοῦ ἀξιώματός ἐστι. Τὰ οὖν
to-rest-upon of-supereminent dignity is the(-things) then
ἐπαναπαυόμενα ἐπὶ τὸ παρ᾽ ἡμῶν Δεσποτικὸν ἐκεῖνο
resting upon the from us Lordly that
πρόσλημμα, πῶς ἂν εἶεν κτίσματα;
assumed(-nature) how — would-they-be creatures

71 Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, κατὰ μὲν τὸν Λουκᾶν,
the Lord our Jesus Christ according-to indeed — Luke
ἐν δακτύλῳ φησὶ Θεοῦ ἐκβάλλειν τὰ δαιμόνια· κατὰ δὲ
by (the)-finger he-says of-God to-cast-out the demons according-to and
τὸν Ματθαῖον, ἐν Πνεύματι Θεοῦ. Δάκτυλον δέ φησι Θεοῦ
— Matthew by (the)-Spirit of-God (the)-finger and he-calls of-God
ὁ μέγας Βασίλειος μίαν τῶν τοῦ Πνεύματος ἐνεργειῶν. Εἰ
the great Basil one of-the of-the Spirit workings if
οὖν ἡ μία τούτων τὸ Πνεῦμα τὸ ἅγιόν ἐστι, καὶ αἱ ἄλλαι
then the one of-these the Spirit the holy is also the others
πάντως· ὡς ὁ αὐτὸς καὶ τοῦτ᾽ ἐδίδαξεν ἡμᾶς, ἀλλ᾽ οὐ
by-all-means as the same also this taught us but not
διὰ τοῦτο πολλοὶ θεοί, ἢ πολλὰ πνεύματά ἐστι. Πρόοδοι
because-of this many gods or many spirits there-are processions
γὰρ τὰ τοιαῦτα, καὶ ἐκφάνσεις, καὶ ἐνέργειαι φυσικαὶ τοῦ
for the such(-things) and manifestations and workings natural of-the

ἑνὸς Πνεύματός εἰσι· καὶ δι᾽ ἑκάστης ἕν ἐστι τὸ
one Spirit are and through each one is the(-one)
ἐνεργοῦν. Οἱ δὲ κακόδοξοι, κτίσματα ταῦτα λέγοντες,
working the(-ones) but heretical creatures these calling
ἑπταπλασίως εἰς κτίσμα τὸ Πνεῦμα κατασπῶσι τοῦ Θεοῦ.
sevenfold into (a)-creature the Spirit drag-down — of-God
Ἀλλ᾽ αἰσχυνέσθωσαν ἑπταπλασίως. Ὁ γὰρ εἰπὼν αὖθις
but let-them-be-ashamed sevenfold the for having-said again
προφήτης περὶ αὐτῶν, ὡς «Ἑπτὰ οὗτοι ὀφθαλμοὶ Κυρίου
prophet about them that seven these eyes of-(the)-Lord
εἰσίν, οἱ ἐπιβλέποντες ἐπὶ πᾶσαν τὴν γῆν·» καὶ ὁ
are the(-ones) looking upon all the earth and the(-one)
ἐν τῇ Ἀποκαλύψει γράφων, «Χάρις ἡμῖν καὶ εἰρήνη ἀπὸ
in — Revelation writing grace to-us and peace from
Θεοῦ, καὶ ἀπὸ τῶν ἑπτὰ πνευμάτων, ἃ ἐνώπιον τοῦ
God and from the seven spirits which before the
θρόνου τοῦ Θεοῦ εἰσι, καὶ ἀπὸ τοῦ Χριστοῦ·» τὸ Πνεῦμα
throne — of-God are and from — Christ the Spirit
τὸ ἅγιον εἶναι ταῦτα, τοῖς πιστοῖς ἐμφανῶς παρίστησιν.
the holy to-be these to-the faithful manifestly presents
Ὁ Θεὸς καὶ Πατήρ, διὰ Μιχαίου τοῦ προφήτου 72
— God and Father through Micah the prophet
προκαταγγέλλων τὴν τοῦ Μονογενοῦς κατὰ σάρκα
announcing-beforehand the of-the Only-begotten according-to flesh
γέννησιν, βουλόμενος ἐπιδεῖξαι καὶ τῆς θεότητος αὐτοῦ τὸ
birth wishing to-show also of-the godhead his the
ἄναρχον, «Καὶ αἱ ἔξοδοι αὐτοῦ, φησίν, ἀπ᾽ ἀρχῆς
unoriginateness and the goings-forth his he-says (are)-from (the)-beginning
ἐξ ἡμερῶν αἰῶνος.» Τὰς δὲ ἐξόδους ταύτας τὰς ἐνεργείας
from days of-eternity the and goings-forth these the workings
εἶναι τῆς θεότητος, οἱ θεῖοι Πατέρες ἐξηγήσαντο. Αὐταὶ
to-be of-the godhead the divine Fathers interpreted these

γάρ εἰσι τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου
for are of-the Father and of-the Son and of-the holy
Πνεύματος δυνάμεις τε καὶ ἐνέργειαι· ἃς κτιστὰς εἶναι
Spirit powers both and workings which created to-be
περιαγγέλλουσιν, οἱ τὰ τῶν κακοδόξων φρονεῖν τε
proclaim the(-ones) the(-things) of-the heretics to-think both
καὶ ἐπεκδικεῖν σπουδάζοντες. Ἀλλ' ὀψέ ποτε λαβόντες νοῦν
and to-champion being-eager but late ever having-taken mind
συνίτωσαν, τίς ὁ ἀπ' ἀρχῆς ὤν· τίς πρὸς ὅν
let-them-understand who the(-one) from (the)-beginning being who to whom
φησιν ὁ Δαβίδ, ὅτι «Ἀπὸ τοῦ αἰῶνος» (ταὐτὸ δ' εἰπεῖν,
says — David that from the age the-same and to-say
ἐξ ἡμερῶν αἰῶνος), «καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ·» καὶ
from days of-eternity and to the age you are and
συνετῶς σκοπείτωσαν, εἰ βούλονται, ὡς ὁ Θεὸς διὰ τοῦ
intelligently let-them-consider if they-wish how — God through the
προφήτου ἀπ' ἀρχῆς εἰπὼν τὰς ἐξόδους ταύτας εἶναι,
prophet from (the)-beginning having-said the goings-forth these to-be
ἐγένοντο ἢ ἐποιήθησαν, ἢ ἐκτίσθησαν, εἶπεν οὐδαμῶς. Καὶ
they-came-to-be or were-made or were-created said in-no-way and
ὁ ἐν Πνεύματι Θεοῦ θεολογῶν Βασίλειος, οὐκ, Ἐγένοντο,
the in (the)-Spirit of-God theologizing Basil not they-came-to-be
ἀλλ', «Ἦσαν, εἶπεν, αἱ τοῦ Πνεύματος ἐνέργειαι πρὸ τῆς
but they-were said the of-the Spirit workings before the
νοητῆς κτίσεως, καὶ τῶν αἰώνων ἐπέκεινα.» Μόνος οὖν
intelligible creation and of-the (the)-ages beyond alone then
ὁ Θεὸς ἐξ αἰῶνος ἐνεργής τε καὶ παντοδύναμος, ὡς
— God from eternity active both and almighty as
καὶ προαιωνίους ἔχων δυνάμεις τε καὶ ἐνεργείας.
also pre-eternal having powers both and workings

Φασὶ δέ, τοῖς ἁγίοις ἀντικείμενοι προδήλως, οἱ τῆς 73
they-say and to-the saints opposed manifestly the(-ones) of-the
ἐναντίας δόξης προϊστάμενοι· Ἕν ἐστι τὸ ἄκτιστον, ἡ θεία
contrary opinion leading one is the uncreated the divine
φύσις· πᾶν δὲ τὸ διαφέρον ταύτης ὁπωσοῦν, κτιστόν
nature all and the(-thing) differing from-it in-any-way created
ἐστι· κτίσμα ποιοῦντες ἐντεῦθεν καὶ τὸν Πατέρα, καὶ τὸν
is (a)-creature making from-this also the Father and the
Υἱόν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Μία γὰρ καὶ ἡ αὐτὴ τῶν
Son and the Spirit the holy one for and the same of-the
τριῶν ἡ ἐνέργεια. Οὗ δὲ ἡ ἐνέργεια κτιστή, ἄκτιστος
three (is)-the working of-whom but the working (is)-created uncreated
αὐτὸς οὐκ ἔστι. Διὰ τοῦτο οὐχ ἡ τοῦ Θεοῦ ἐνέργεια,
he not is because-of this not the — of-God working
ἄπαγε! ἀλλὰ τὸ ἐνεργηθέν, καὶ ἀποτελεσθέν ἐστι τὸ
away-with(-it) but the(-thing) worked and accomplished is the
κτίσμα. Διὸ καὶ οὐσιώδη, τουτέστι φυσικὴν εἶναι κίνησιν,
creature wherefore also essential that-is natural to-be movement
τὴν διαφέρουσαν τῆς θείας φύσεως ἐνέργειαν, ὁ θεσπέσιος
the differing from-the divine nature working the divine
ἐδίδαξε Δαμασκηνός. Ἐπεὶ δὲ καὶ τῆς θείας ἐνεργείας εἶναι
taught Damascene since and also of-the divine working to-be
τὸ ποιεῖν ὁ θεῖος Κύριλλος ἔφη, πῶς αὖτη ποίημα, εἰ
the to-make the divine Cyril said how (is)-it (a)-thing-made unless
μὴ δι᾽ ἑτέρας ἐνεργείας ἐνεργηθήσεται, κἀκείνη πάλιν
— through another working it-will-be-worked and-that again
δι᾽ ἑτέρας, καὶ οὕτω πρὸς τὸ ἐπάπειρον ἰέναι, καὶ τὸ
through another and thus to the infinite to-go and the
τῆς ἐνεργείας ἄκτιστον ἀεὶ ζητεῖται καὶ κηρύττεται;
of-the working uncreatedness always is-sought and is-proclaimed

74 Πανταχοῦ παρούσης ἀχωρίστως τῆς τε θείας οὐσίας,
everywhere being-present inseparably of-the both divine essence
καὶ τῆς θείας ἐνεργείας, χωρητή ἐστιν ἡ τοῦ
and of-the divine working capable-of-being-contained is the —
Θεοῦ ἐνέργεια καὶ τοῖς κτιστοῖς ἡμῖν· ἐπεὶ καὶ μερίζεται
of-God working even by-the created us since also it-is-divided
ἀμερίστως κατὰ τοὺς θεολόγους· τῆς θείας φύσεως
indivisibly according-to the theologians the divine nature
ἀμερίστου παντάπασι μενούσης κατ' αὐτούς. Διὸ καὶ
indivisible altogether remaining according-to them wherefore also
ὁ Χρυσόστομος Πατήρ, εἰπὼν ὅτι ἡ ῥανὶς τῆς χάριτος
— Chrysostom Father having-said that the drop of-the grace
τὰ πάντα ἐπλήρωσε τῆς γνώσεως· δι' αὐτῆς τὰ
the(-things) all filled with-the knowledge through it the
θαύματα ἐγίνετο, τὰ ἁμαρτήματα ἐλύετο· καὶ δείξας
wonders happened the sins were-loosed and having-shown
ἄκτιστον οὖσαν τὴν τῆς χάριτος ῥανίδα· εἶτα σπεύδων
uncreated being the of-the grace drop then hastening
ἐπιδεῖξαι καὶ ἐνέργειαν, ἀλλ' οὐκ οὐσίαν οὖσαν, ἔτι δὲ
to-show also working but not essence being further and
καὶ τὴν τῆς θείας ἐνεργείας διαφοράν, πρός τε τὴν θείαν
also the of-the divine working difference as-against both the divine
οὐσίαν, καὶ τὴν τοῦ Πνεύματος ὑπόστασιν, ἐπάγει γράφων·
essence and the of-the Spirit hypostasis adds writing
«Τὸ μέρος λέγω τῆς ἐνεργείας· οὐ γὰρ δὴ ὁ Παράκλητος
the part I-mean of-the working not for indeed the Paraclete
μερίζεται. Χωρητὴ γοῦν ἐστιν ἡμῶν ἑκάστῳ ἡ θεία
is-divided capable-of-being-contained then is of-us by-each the divine
χάρις, καὶ ἡ ἐνέργεια· ἐπεὶ καὶ ἀμερίστως αὕτη μερίζεται.
grace and the working since also indivisibly it is-divided

Ἡ δὲ τοῦ Θεοῦ οὐσία, παντάπασιν ἀμέριστος οὖσα καθ'
the but — of-God essence altogether indivisible being by
αὑτήν, πῶς ἄν τινι χωρηθείη τῶν κτιστῶν;»
itself how — by-anyone could-it-be-contained of-the created(-ones)
Τριῶν ὄντων τοῦ Θεοῦ, οὐσίας ἐνεργείας, Τριάδος 75
three being — of-God essence working Trinity
ὑποστάσεων θείων· οἱ κατηξιωμένοι τῷ Θεῷ ἡνῶσθαι,
of-hypostases divine the(-ones) deemed-worthy — to-God to-be-united
ὡς ἓν εἶναι πνεῦμα μετ' αὐτοῦ· καθὰ καὶ Παῦλος ὁ μέγας
so-as one to-be spirit with him as also Paul the great
εἴρηκεν· «Ὁ κολλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστιν·»
has-said the(-one) cleaving to-the Lord one spirit is
ἐπεὶ κατ' οὐσίαν οὐχ ἡνῶσθαι τοὺς ἀξίους ἀνωτέρω
since in essence not to-be-united the worthy above
δέδεικται, καὶ πάντες οἱ θεολόγοι μαρτυροῦσι, κατ' οὐσίαν
has-been-shown and all the theologians testify in essence
εἶναι τὸν Θεὸν ἀμέθεκτον· ἡ δὲ καθ' ὑπόστασιν ἕνωσις,
to-be — God imparticipable the but by hypostasis union
μόνου διατελεῖ τυγχάνουσα τοῦ θεανθρώπου Λόγου· λείπεται
of-alone remains attaining of-the God-man Word it-remains
κατ' ἐνέργειαν ἑνοῦσθαι τοὺς κατηξιωμένους ἑνοῦσθαι
by working to-be-united the(-ones) deemed-worthy to-be-united
Θεῷ· καὶ πνεῦμα καθ' ὅ ἐστιν ἓν μετὰ Θεοῦ ὁ
to-God and spirit according-to which is one with God the(-one)
κολλώμενος Θεῷ, τὴν ἄκτιστον τοῦ Πνεύματος ἐνέργειαν
cleaving to-God the uncreated of-the Spirit working
εἶναι καὶ καλεῖσθαι, ἀλλ' οὐ τὴν οὐσίαν τοῦ Θεοῦ· κἂν οἱ
to-be and to-be-called but not the essence — of-God even-if the
ἀντικείμενοι ἀπαρέσκωνται. Ἐπεὶ καὶ διὰ τοῦ προφήτου,
opponents be-displeased since also through the prophet

οὐ, Τὸ Πνεῦμά μου, ἀλλ', «Ἀπὸ τοῦ Πνεύματός μου
not the Spirit my but from the Spirit my
ἐκχεῶ ἐπὶ τοὺς πιστεύοντας,» προέφη ὁ Θεός.
I-will-pour upon the(-ones) believing foretold — God
76 Πνεύματι Θεοῦ, φησίν, ἐκινοῦντο καὶ Μωϋσῆς καὶ Δαβίδ·
by-(the)-Spirit of-God he-says were-moved both Moses and David
καὶ ὅσοι τῆς θείας ἐνεργείας χωρητικοί, τῇ ἀποθέσει
and as-many-as of-the divine working capable-of-receiving by-the putting-off
τῶν σαρκικῶν ἰδιωμάτων γεγόνασι, καὶ ζῶσαί τινες
of-the fleshly properties became and living some
εἰκόνες Χριστοῦ· καὶ ταὐτὸ μᾶλλον αὐτῷ κατὰ τὴν
images of-Christ and the-same rather with-him according-to the
χάριν, ἢ ἀφομοίωμα· καὶ μία ἡ καθαρότης ἡ ἐν
grace or likeness and one (is)-the purity the(-one) in
τῷ Χριστῷ καὶ τοῖς ἁγίοις ἐστί· καὶ ἡ λαμπρότης τοῦ
— Christ and the saints is and the brightness —
Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς ὁ ἐνθεώτατος ᾄδει μελῳδῶν. Αἱ
of-God our (be)-upon us the most-inspired sings in-melody the
γὰρ πνευματοφόροι ψυχαί, κατὰ τὸν μέγαν Βασίλειον,
for Spirit-bearing souls according-to the great Basil
ἐλλαμφθεῖσαι παρὰ τοῦ Πνεύματος, αὐταί τε ἀποτελοῦνται
illumined by the Spirit they both are-made
πνευματικαί, καὶ εἰς ἑτέρους τὴν χάριν ἐξαποστέλλουσιν.
spiritual and to others the grace send-forth
Ἐντεῦθεν μελλόντων πρόγνωσις· μυστηρίων σύνεσις·
from-here (is)-of-future-things foreknowledge of-mysteries understanding
κεκρυμμένων κατάληψις· χαρισμάτων διανομαί· τὸ οὐράνιον
of-hidden(-things) apprehension of-gifts distributions the heavenly
πολίτευμα· ἡ μετ' ἀγγέλων χορεία· ἡ ἀτελεύτητος
citizenship the with angels choir-dance the unending

εὐφροσύνη· ἡ ἔνθεος διανομή· ἡ πρὸς Θεὸν ὁμοίωσις·
gladness the divine distribution the toward God likeness
τὸ ἀκρότατον τῶν ὀρεκτῶν, θεὸν γενέσθαι.
the highest of-the desirable(-things) god to-become
Κατὰ τὴν χάριν ταύτην καὶ λαμπρότητα, καὶ πρὸς τὸν 77
according-to the grace this and brightness and toward —
Θεὸν ἕνωσιν, πλεονεκτοῦσι τῶν ἀνθρώπων οἱ ἄγγελοι.
God union surpass the men the angels
Διὸ καὶ λαμπρότητές εἰσι δεύτεραι, λειτουργοὶ τῆς
wherefore also brightnesses they-are second ministers of-the
ἄνω λαμπρότητος, καὶ φῶτα δεύτερα τοῦ πρώτου φωτὸς
above brightness and lights second of-the first light
ἀπαυγάσματα αἱ νοεραὶ δυνάμεις καὶ τὰ λειτουργικὰ
reflections the intellectual powers and the ministering
πνεύματα· καὶ πρώτη φωτεινὴ φύσις, μετὰ τὴν πρώτην,
spirits and first luminous nature after the first
τῷ ἐκεῖθεν αὐγάζεσθαι· καὶ δεύτερον φῶς ἄγγελος, τοῦ
by-the from-there to-be-illumined and second light (is-the)-angel of-the
πρώτου φωτὸς ἀποῤῥοή τις, ἢ μετουσία. Καὶ κυκλικῶς
first light outflow some or participation and circularly
οἱ θεῖοι κινούμενοι νόες, ἑνοῦνται ταῖς ἀνάρχοις καὶ
the divine moving minds are-united to-the unoriginate and
ἀτελευτήτοις ἐλλάμψεσι τοῦ καλοῦ καὶ ἀγαθοῦ. Τοῖς γὰρ
endless illuminations of-the beautiful and good to-the for
ἀϊδίοις αὐτὸς ὁ Θεός ἐστι φῶς, καὶ οὐκ ἄλλο· καὶ
eternal(-beings) the-very — God is light and not another and
ὃ τοῖς αἰσθητοῖς ἥλιος, τοῦτο τοῖς νοητοῖς Θεός·
what to-the sensible(-things) (is)-the-sun this to-the intelligible(-things) (is)-God
καὶ αὐτός ἐστι τὸ πάσης τῆς λογικῆς φύσεως φωτιστικὸν
and he is the of-all the rational nature illuminating
πρῶτον καὶ ἀκρότατον φῶς. «Κἂν τοῦ προφήτου λέγοντος
first and highest light even-if the prophet saying

ἀκούσῃς, ὁ Χρυσόστομός φησι Πατήρ· «Εἶδον τὸν Κύριον
you-hear — Chrysostom says Father I-saw the Lord
καθήμενον ἐπὶ θρόνου·» μὴ τοῦτο ὑποπτεύσῃς, ὅτι τὴν
sitting on (a)-throne not this suspect that the
οὐσίαν εἶδεν ἐκείνην, ἀλλὰ τὴν συγκατάβασιν· καὶ ταύτην
essence he-saw that but the condescension and this
δὲ ἀμυδρότερον ἤπερ αἱ ἄνω δυνάμεις.»
too more-faintly than the above powers

78 Πᾶσα φύσις ὡς πορρώτατω ἐστί, καὶ παντάπασι ξένη τῆς
every nature as farthest is and altogether foreign from-the
θείας φύσεως. Εἰ γὰρ ὁ Θεὸς φύσις, τἄλλα οὐκ ἔστι φύσις·
divine nature if for — God (is)-nature the-others not are nature
εἰ δὲ τῶν ἄλλων ἕκαστον φύσις, ἐκεῖνος οὐκ ἔστι φύσις· ὡς
if but of-the others each (is)-nature that(-one) not is nature as
οὐδὲ ὄν ἐστιν, εἰ τἄλλα ὄντα ἐστίν. Εἰ δ' ἔστιν ἐκεῖνος
not-even being is(-he) if the-others beings are if and is that(-one)
ὤν, τἄλλα οὐκ ἔστιν ὄντα. Τοῦτο κἀπὶ τῆς σοφίας καὶ τῆς
being the-others not are beings this also-in the wisdom and the
ἀγαθότητος, καὶ ἁπλῶς ἐπὶ πάντων τῶν περὶ Θεόν,
goodness and simply in all the(-things) about God
ἢ περὶ Θεοῦ λεγομένων λαμβάνων, καλῶς καὶ τοῖς ἁγίοις
or about God said taking(-it) well and to-the saints
ἀκολούθως θεολογήσεις. Ἔστι δὲ καὶ λέγεται φύσις τῶν
consistently you-will-theologize is and also is-called (the)-nature of-the
ὄντων πάντων ὁ Θεός, ὡς αὐτοῦ πάντων μετεχόντων, καὶ
beings all — God as of-him all partaking and
τῇ μεθέξει τούτου συνεστώτων· οὐ τῇ μεθέξει τῆς αὐτοῦ
by-the participation of-him subsisting not by-the participation of-the his
φύσεως, ἄπαγε! ἀλλὰ τῇ μεθέξει τῆς αὐτοῦ ἐνεργείας.
nature away-with(-it) but by-the participation of-the his working
Οὕτω γὰρ καὶ ὀντότης ἐστὶ τῶν ὄντων, καὶ εἶδος ἐν τοῖς
thus for also beingness he-is of-the beings and form in the

εἴδεσιν ὡς εἰδεάρχης, καὶ σοφία τῶν σοφιζομένων, καὶ
forms as form-originator and wisdom of-the(-ones) made-wise and
ἁπλῶς τὰ πάντα πάντων· καὶ οὐκ ὢν φύσις, ὡς ὑπὲρ
simply the all of-all and not being nature as beyond
πᾶσαν φύσιν· καὶ οὐκ ὢν ὤν, ὡς ὑπὲρ πάντα τὰ ὄντα·
every nature and not being being as beyond all the beings
καὶ οὐκ ὢν οὐδ' ἔχων εἶδος, ὡς ὑπὲρ εἶδος ὤν. Πῶς
and not being nor having form as beyond form being how
οὖν ἡμεῖς πλησίον τοῦ Θεοῦ γενώμεθα; Ἆρα τῇ φύσει
then we near — to-God may-come-to-be (is-it)-then by-the nature
πλησιάζοντες αὐτοῦ; ἀλλ' οὐδὲ μίαν ἔχει ἢ ἕξει κοινωνίαν
drawing-near to-him but not-even one has or will-have communion
ἢ ἐγγύτητα πρὸς τὴν ἀνωτάτω φύσιν, τῶν κτιστῶν
or nearness toward the highest nature of-the created(-things)
ἁπάντων οὐδὲ ἕν. Εἴπερ οὖν τις γέγονε πλησίον τοῦ
all not-even one if-indeed then anyone has-come-to-be near —
Θεοῦ, τῇ ἐνεργείᾳ πάντως ἐπλησίασεν αὐτοῦ. Πῶς οὖν;
to-God by-the working by-all-means he-drew-near-to him how then
Ὡς μετέχων ἐκείνης φυσικῶς; ἀλλὰ τοῦτο κοινόν ἐστι
as partaking of-that naturally but this common is
πάντων τῶν κτισμάτων. Οὐκοῦν οὐ τοῖς ἐκ φύσεως
of-all the creatures therefore not by-the(-things) from nature
προσοῦσιν, ἀλλὰ τοῖς ἐκ προαιρέσεως προσγινομένοις,
belonging but by-the(-things) from choice accruing
πλησίον τις ἢ μακρὰν γίνεται Θεοῦ· προαίρεσις δὲ
near one or far becomes from-God choice and
μόνον τῶν λογικῶν ἐστι. Ταῦτα οὖν μόνα τῶν ἄλλων
only of-the rational(-beings) is these then alone of-the others
ἁπάντων, ἢ μακρὰν ἢ ἐγγὺς γίνεται Θεοῦ· δι' ἀρετῆς
all either far or near become to-God through virtue
ἢ κακίας, ἢ ἐγγίζοντα ἢ μακρυνόμενα. Ταῦτα τοιγαροῦν
or vice either drawing-near or being-removed these therefore

μόνα καὶ δεκτικά ἐστιν ἀθλιότητος ἢ μακαριότητος. Ἀλλ'
alone also receptive are of-wretchedness or blessedness but
ἡμεῖς σπεύσωμεν τῆς μακαριότητος ἐπιλαβέσθαι.
we let-us-hasten of-the blessedness to-lay-hold

79 Ἄλλο μὲν πρὸς ἄλλο τῶν κτισμάτων συγκρινόμενον, οἰκεῖον
one indeed with another of-the creatures compared akin
Θεοῦ κατὰ φύσιν, ἢ ξένον λέγεται. Οἰκεῖον μὲν γάρ, φησί,
to-God according-to nature or foreign is-called akin indeed for he-says
θεότητος, αἱ νοεραὶ φύσεις, καὶ νῷ μόνῳ ληπταί· ξένον
to-the-godhead (are)-the intellectual natures and by-mind only grasped foreign
δὲ παντάπασιν, ὅσαι ὑπὸ τὴν αἴσθησιν· καὶ τούτων αὐτῶν
but altogether as-many-as under the sensation and than-these themselves
ἔτι πορρώτερω, ὅσαι παντελῶς ἄψυχοι καὶ ἀκίνητοι.
still farther as-many-as wholly soulless and motionless
Πρὸς ἄλληλα τοίνυν τὰ κτίσματα συγκρινόμενα, οἰκεῖα Θεῷ
with one-another therefore the creatures compared akin to-God
κατὰ φύσιν ἢ ξένα λέγεται· αὐτὰ δὲ καθ' αὐτὰ φύσιν
according-to nature or foreign are-called themselves but by themselves (in)-nature
ἅπαντα, ξένα ἐστὶ Θεοῦ. Πλέον γὰρ οὐδ' ὅσον εἰπεῖν
all foreign are from-God more for not-even as-much-as to-say
ἡ νοερὰ φύσις πόρρω ἐστὶ Θεοῦ, ἢ ὅσον αἴσθησίς
the intellectual nature far is from-God than as-much-as sensation
τε καὶ τὰ ὑπ' αἴσθησιν τῶν νοερῶν ἀπέχει.
both and the(-things) under sensation from-the intellectual(-things) are-distant
Τοσοῦτον οὖν ἀπέχοντες τῇ καθ' ἡμᾶς φύσει τοῦ Θεοῦ,
so-much then being-distant in-the according-to us nature — from-God
ὄντως, οὐαὶ ἡμῖν, εἰ μὴ γοῦν ἐκ προαιρέσεως χρηστῆς,
truly woe to-us unless — at-least from choice good
δι' ἔργων καὶ τρόπων ἀγαθῶν, ἐγγὺς αὐτοῦ γενοίμεθα.
through works and ways good near him we-should-come-to-be

Ἡ τῶν θείων θεηγόρων ἔνθεος καὶ κοινὴ γλῶσσα, 80
the of-the divine God-speakers inspired and common tongue
Δαμασκηνὸς ὁ θεοφόρος φησὶν ἐν δευτέρῳ τῶν θεολογικῶν
Damascene the God-bearer says in (the)-second of-the theological
αὐτοῦ κεφαλαίων· «Χρὴ τὸν περὶ Θεοῦ τι λέγειν
his chapters (it)-is-needful the(-one) about God anything to-say
ἢ ἀκούειν βουλόμενον, σαφῶς εἰδέναι, ὡς οὐδὲ πάντα
or to-hear wishing clearly to-know that neither all(-things)
ἄῤῥητα, οὐδὲ πάντα ῥητά, τά τε τῆς θεολογίας,
(are)-ineffable nor all sayable the(-things) both of-the theology
τά τε τῆς οἰκονομίας· οὔτε μὴν πάντα γνωστά,
the(-things) and of-the dispensation nor indeed all knowable
οὐδὲ πάντα ἄγνωστα. Ὑπὲρ λόγον δ᾽ ἴσμεν καὶ ὅσα
nor all unknowable beyond reason and we-know also as-many-as
λέγειν ἐφεῖται τῶν θείων, ὡς καὶ ταῦτα καθ᾽
to-say is-permitted of-the divine(-things) as also these according-to
ὑπερέχοντα λόγον (οὐ γὰρ ἔξω λόγου κατ᾽ ἔλλειψιν, ἀλλ᾽
surpassing reason not for outside reason by deficiency but
ἐκτὸς λόγου τοῦ καθ᾽ ἡμᾶς), ὅν θ᾽ ἡμῖν αὐτοῖς
outside (the)-reason the according-to us which both in-us ourselves
ἐνδιαιτώμενον ἔχομεν, καὶ ὃν παρ᾽ ἡμῶν αὐτῶν εἰς
dwelling we-have and which from us ourselves to
ἀκοὴν ἑτέρων προάγομεν. Οὔτε γὰρ οὗτος ἑρμηνεύων
(the)-hearing of-others we-bring-forth neither for this(-one) interpreting
παραστῆσαι δύναιτ᾽ ἄν, οὔτ᾽ ἐκεῖνος πολυπραγμονῶν,
to-present could — nor that(-one) inquiring
οἴκοθεν ἐφίκοιτ᾽ ἄν.» Οὐκ ἄρ᾽ ἡμῖν αὐτοῖς ἐπιτρεπτέον
of-himself could-attain — not then to-us ourselves (it-is)-to-be-entrusted
περὶ Θεοῦ τι λέγειν· ἀλλ᾽ ἡμᾶς αὐτοὺς ἐπιτρεπτέον
about God anything to-say but us ourselves (it-is)-to-be-entrusted

πρὸς τοὺς ἐν πνεύματι τὰ τοῦ πνεύματος λαλοῦντας,
to the(-ones) in spirit the(-things) of-the spirit speaking
καὶ ὅταν ἀπαιτῶσι λόγον οἱ ἀντικείμενοι.
also when demand (an)-account the opponents
81 Φασὶν ἐπιγεγράφθαι τῶν προθύρων τῆς σχολῆς τοῦ
they-say to-have-been-inscribed of-the porch of-the school —
Πλάτωνος· «Μηδεὶς εἰσίτω ἀγεωμέτρητος.» Πάντη δέ ἐστιν
of-Plato let-no-one enter ungeometrical wholly and is
ἀγεωμέτρητος, ὁ μὴ δυνάμενος περὶ τῶν ἀχωρίστων
ungeometrical the(-one) not able about the inseparable(-things)
ὡς κεχωρισμένων διανοεῖσθαί τε καὶ διαλέγεσθαι. Εἶναι
as separated to-think both and to-discourse to-be
γὰρ πέρας χωρὶς τοῦ περατουμένου, τῶν ἀδυνάτων.
for (a)-limit without the limited (is-of)-the impossible(-things)
Γεωμετρία δέ, περὶ τῶν περάτων σχεδὸν ἅπας ὁ λόγος·
geometry and about the limits almost all the reasoning
ἃ καὶ χωρὶς τῶν περατουμένων, ἔσθ' ὅτε καθ' ἑαυτὰ
which also without the limited(-things) there-is when by themselves
καὶ ὁρίζεται καὶ προβάλλεται, τοῦ νοῦ χωρίζοντος τὰ
both is-defined and put-forward the mind separating the
ἀχώριστα. Ὁ δὲ τὸ σῶμα τῶν περὶ αὐτὸ
inseparable(-things) the(-one) but the body from-the(-things) about it
χωρίζειν τῷ νῷ μηδέπω μαθών, πῶς ἀκούσει περὶ
to-separate by-the mind not-yet having-learned how will-be-hear about
φύσεως καθ' ἑαυτήν; Ἥτις οὐ μόνον ἀχώριστός ἐστι τῶν
nature by itself which not only inseparable is from-the
φυσικῶν ἐννυπάρχουσα τούτοις, ἀλλ' οὐδ' εἶναί ποτε
natural(-things) existing-in them but not-even to-be ever
δύναται χωρὶς αὐτῶν. Πῶς ἀκούσει περὶ τῶν καθ'
can without them how will-be-hear about the(-things) on
ὅλου ὡς καθ' ὅλου, ἅπερ ἐν τοῖς μερικοῖς εἰσι; νῷ
(the)-whole as on (the)-whole which in the particulars are by-mind

καὶ λόγῳ μόνῳ τούτων διαιρούμενα, καὶ πρὸ τῶν πολλῶν
and reason only from-these divided and before the many
νοούμενα, τὸ τῶν πολλῶν ἄνευ μηδαμῶς ὄντα τῷ γε
conceived the(-thing) of-the many without in-no-way being by-the indeed
ἀληθεῖ λόγῳ; Πῶς ἀκούσει περὶ νοητῶν καὶ νοερῶν;
true reason how will-he-hear about intelligible(-things) and intellectual
πῶς ἀκούσει καὶ νοῦν ἕκαστον ἡμῶν ἔχειν λεγόντων, καὶ
how will-he-hear also mind each of-us to-have saying and
διανοήματα, καὶ τῶν διανοημάτων ἕκαστον ἡμῶν ὑπάρχειν
thoughts and of-the thoughts each our to-be
νῦν, καὶ οὐ καταγελάσει καὶ ἀνακράξεται, κατηγορῶν
now and not will-he-mock and will-cry-out accusing
ἡμῶν, ὡς δύο καὶ πολλοὺς ἔχειν νοῦς λεγόντων ἕκαστον
us as two and many to-have minds saying each
ἀνθρώπων; Ὁ δὲ ἐπὶ τῶν τοιούτων μὴ δυνάμενος
of-men the(-one) but in the such(-things) not able
ἀκούειν ἢ λέγειν, περὶ τῶν ἀδιαιρέτων ὡς διῃρημένων,
to-hear or to-speak about the indivisible(-things) as divided
πῶς ἐπὶ τοῦ Θεοῦ δυνήσεταί τι τοιοῦτον ἢ λέγειν ἢ
how in — God will-he-be-able anything such either to-say or
διδάσκεσθαι; Ἐφ᾽ οὗ πολλαὶ μέν εἰσι καὶ λέγονται ἑνώσεις
to-be-taught in whom many indeed are and are-spoken-of unions
τε καὶ διακρίσεις, κατὰ τοὺς θεολόγους· ἀλλ᾽ αἱ ἑνώσεις
both and distinctions according-to the theologians but the unions
τῶν διακρίσεων ἐπικρατοῦσι, καὶ προκατάρχουσι· μήτ᾽
over-the distinctions prevail and take-precedence neither
ἀναιροῦσαι ταύτας, μήτ᾽ ἐμποδιζόμεναι παρὰ τούτων αὗται
destroying these nor hindered by these they
μηδέν. Οἱ γοῦν ἐναντίοι μὴ δεχόμενοι, μηδὲ δυνάμενοι γνῶναι,
nothing the then opponents not accepting nor able to-know
τὴν ἐπὶ τοῦ Θεοῦ ἀδιαίρετον διαίρεσιν, καὶ διῃρημένην
the in — God undivided division and divided

ἕνωσιν ἀκούοντες ἡμῶν λεγόντων συμφώνως τοῖς ἁγίοις,
union hearing us saying in-agreement with-the saints
ὅτι τοῦ Θεοῦ τὸ μέν ἐστιν ἀκατάληπτον, τὸ δὲ
that — of-God the(-one) indeed is incomprehensible the(-other) but
καταληπτόν, εἷς δέ ἐστι Θεός, ὁ αὐτὸς ἀκατάληπτος τῇ
comprehensible one but is God the same incomprehensible in-the
οὐσίᾳ ὤν, καταληπτὸς δὲ ἀπὸ τῶν ποιημάτων, κατὰ
essence being comprehensible but from the works according-to
τὰς αὐτοῦ θείας ἐνεργείας· τὴν προαιώνιον αὐτοῦ δηλαδὴ
the his divine workings the pre-eternal his clearly
περὶ ἡμᾶς θέλησιν, τὴν προαιώνιον περὶ ἡμᾶς αὐτοῦ
about us will the pre-eternal about us his
πρόνοιαν· τὴν προαιώνιον αὐτοῦ περὶ ἡμᾶς σοφίαν· καὶ
providence the pre-eternal his about us wisdom and
ἵνα κατὰ τὸν θεῖον Μάξιμον εἴπω, τὴν ἄπειρον αὐτοῦ
that according-to the divine Maximus I-may-say the infinite his
δύναμιν, καὶ σοφίαν, καὶ ἀγαθότητα· ταῦτα δὲ ἦσαν
power and wisdom and goodness these(-things) and were
ἀναγκαίως ἡμῶν εἰπόντων, ἀκούσαντες οἱ ἀντικείμενοι,
necessarily us having-said having-heard the opponents
καὶ οἱ μετ᾽ ἐκείνους κατ᾽ ἐκείνους, κατηγοροῦσιν,
and the(-ones) after them according-to them accuse(-us)
ὡς πολλοὺς θεούς, καὶ πολλὰ λεγόντων ἄκτιστα, καὶ
as many gods and many saying uncreated(-things) and
σύνθετον ποιούντων τὸν Θεόν. Ἀγνοοῦσι γάρ, ὡς ὁ Θεὸς
compound making — God they-are-ignorant for that — God
ἀδιαιρέτως διαιρεῖται, καὶ συνάπτεται διῃρημένως· καὶ
undividedly is-divided and is-joined dividedly and
οὔτε πολυπλασιασμὸν παρὰ τοῦτο πάσχει, οὔτε σύνθεσιν.
neither multiplication because-of this suffers nor composition

Παῦλος ὁ μέγας, τὸ τοῦ Χριστοῦ στόμα, τὸ σκεῦος τῆς 82
Paul the great the — of-Christ mouth the vessel of-the
ἐκλογῆς, τὸ τοῦ θείου ὀνόματος περιφανέστατον ὄχημα,
election the of-the divine name most-conspicuous vehicle
«Τὰ ἀόρατα, φησί, τοῦ Θεοῦ, ἀπὸ κτίσεως κόσμου,
the invisible(-things) he-says — of-God from (the)-creation of-(the)-world
τοῖς ποιήμασι νοούμενα καθορᾶται· ἥ τε ἀΐδιος αὐτοῦ
by-the things-made understood are-clearly-seen the both eternal his
δύναμις καὶ θειότης.» Ἆρ᾽ οὖν ἡ οὐσία τοῦ Θεοῦ τοῖς
power and divinity (is-it) then the essence — of-God by-the
ποιήμασι νοουμένη καθορᾶται; οὐμενοῦν· τὸ γὰρ τῆς τῶν
things-made understood is-clearly-seen no-indeed this(-is) for of-the of-the
κακοδόξων παραφροσύνης, καὶ πρὸ τούτων τῆς Εὐνομίου
heretics madness and before these — of-Eunomius
παραφορᾶς. Καὶ οὗτος γὰρ πρὸ τούτων κατὰ τούτους
derangement and this(-man) for before these according-to these
ἐκ τῶν ποιημάτων οὐδὲν ἕτερον, ἀλλ᾽ αὐτὴν λογογραφεῖ
from the things-made nothing other but itself writes
νοεῖσθαι τὴν οὐσίαν τοῦ Θεοῦ. Ὁ δὲ θεῖος Ἀπόστολος,
to-be-understood the essence — of-God the but divine Apostle
πολλοῦ δεῖ τὰ τοιαῦτα ὑφηγεῖσθαι. Προδιδάξας γάρ, ὅτι
much lacks the such(-things) to-teach having-taught-before for that
τὸ τοῦ Θεοῦ γνωστόν, φανερόν ἐστι, καὶ δείξας ὡς ἔστι
the — of-God knowable manifest is and having-shown that there-is
καὶ ἄλλο τι ὑπὲρ τὸ γνωστὸν τοῦτο τοῦ Θεοῦ, ὅπερ
also other something beyond the knowable this — of-God which
ἐφανέρωσε πᾶσι τοῖς νοῦν ἔχουσιν αὐτός, εἶτ᾽ ἐπήνεγκε·
made-manifest to-all the(-ones) mind having he then added
«Τὰ γὰρ ἀόρατα αὐτοῦ, ἀπὸ κτίσεως κόσμου τοῖς
the for invisible(-things) his from (the)-creation of-(the)-world by-the
ποιήμασι νοούμενα καθορᾶται.» Τὸ δὲ γνωστὸν τοῦ Θεοῦ
things-made understood are-clearly-seen the but knowable — of-God

τί ἐστιν, οὕτως ἂν μάθοις. Οἱ θεοφόροι Πατέρες
what is(-it) thus — you-might-learn the God-bearing Fathers
ἐξηγούμενοι φασί· Τοῦ Θεοῦ τὸ μέν ἐστιν ἄγνωστον,
interpreting say — of-God the(-one) indeed is unknowable
ἤγουν ἡ οὐσία αὐτοῦ· τὸ δὲ γνωστόν, ἤγουν πάντα
that-is the essence his the(-other) but knowable that-is all
τὰ περὶ τὴν οὐσίαν· τουτέστιν, ἡ ἀγαθότης, ἡ σοφία,
the(-things) about the essence that-is the goodness the wisdom
ἡ δύναμις, ἡ θειότης, ἤτοι μεγαλειότης· ἃ καὶ ἀόρατα
the power the divinity or majesty which also invisible
ὁ Παῦλος λέγει· νοούμενα μέντοι τοῖς ποιήμασι. Τὰ δὲ
— Paul calls understood however by-the things-made the(-things) but
ἀπὸ τῶν κτισμάτων περὶ τὴν οὐσίαν τοῦ Θεοῦ νοούμενα
from the creatures about the essence — of-God understood
ταυτί, πῶς ἂν εἴη πάλιν κτίσματα; Τοιγαροῦν καὶ
these how — would-they-be again creatures therefore also
ἄκτιστός ἐστιν ἡ ἐκ τῶν κτισμάτων νοουμένη τοῦ Θεοῦ
uncreated is the from the creatures understood — of-God
ἐνέργεια, καὶ οὐσία οὐκ ἔστιν· ἐπεὶ καὶ μὴ ἑνικῶς αὕτη
working and essence not it-is since also not in-the-singular it
μόνον, ἀλλὰ καὶ πληθυντικῶς προάγεται.
only but also in-the-plural is-put-forward

83 Σοφίας, καὶ τέχνης, καὶ δυνάμεως, ἀλλ' οὐχὶ τῆς οὐσίας
of-wisdom and art and power but not of-the essence
ἐνδεικτικά ἐστι τὰ ποιήματα, φησὶν ὁ μέγας Βασίλειος,
indicative are the things-made says the great Basil
τῷ Εὐνομίῳ ἀντιφθεγγόμενος, ἐκ τῶν κτισμάτων λέγοντι
— to-Eunomius replying from the creatures saying
δείκνυσθαι τὴν οὐσίαν τοῦ Θεοῦ. Τοιγαροῦν καὶ ἄκτιστός
to-be-shown the essence — of-God therefore also uncreated
ἐστιν ἡ ἀπὸ τῶν ποιημάτων δεικνυμένη τοῦ Θεοῦ ἐνέργεια,
is the from the things-made shown — of-God working

καὶ οὐσία οὐκ ἔστι· καὶ οἱ μηδὲν διαφέρειν λέγοντες
and essence not it-is and the(-ones) in-nothing to-differ saying
τῆς θείας οὐσίας τὴν θείαν ἐνέργειαν, Εὐνομιανοί εἰσι
from-the divine essence the divine working Eunomians are
σοφῶς.
wisely
Καλῶς ἄρα φησὶν ἐν τοῖς Ἀντιῤῥητικοῖς, ὁ ἀδελφὸς αὐτῷ 84
well then says in — Antirrhetics the brother to-him
καὶ ἀδελφὰ φρονῶν, ὅτι τὸ κάλλος καὶ μέγεθος τῶν
and brotherly(-things) thinking that the beauty and greatness of-the
ἐν τῇ κτίσει θαυμάτων κατανοήσαντες, ἐκ τούτων καὶ
in the creation wonders having-perceived from these and
τῶν τοιούτων ἄλλα νοήματα περὶ τὸ Θεῖον λαμβάνοντες,
the such other notions about the Divine taking
ἰδίοις ὀνόμασιν ἕκαστον τῶν ἐγγινομένων ἡμῖν νοημάτων
with-own names each of-the arising in-us notions
διερμηνεύομεν. Ἐκ γὰρ μεγέθους καὶ καλλονῆς τῶν
we-interpret from for (the)-greatness and beauty of-the
κτισμάτων, ἀναλόγως ὁ γενεσιουργὸς θεωρεῖται. Καὶ
creatures proportionately the creator is-contemplated and
Δημιουργὸν μὲν τὸν Ποιητὴν προσαγορεύομεν· δυνατὸν
Creator indeed — Maker we-call powerful
δέ, ᾧ ἐξήρκεσεν ἡ δύναμις, οὐσίαν ποιῆσαι τὴν
and to-whom sufficed the power (as)-essence to-make the
βούλησιν· καὶ δίκαιον, ὡς ἀδέκαστον κριτήν. Ἀλλὰ καὶ τὴν
will and just as incorruptible judge but also the
Θεὸς φωνήν, ἐκ τῆς ἐποπτικῆς ἐνεργείας κεκρατηκέναι
God name from the overseeing working to-have-prevailed
κατελαβόμεθα. Ὥστε καὶ διὰ τούτου μερικήν τινα τῆς
we-grasped so-that also through this partial some of-the

θείας φύσεως ἐνέργειαν διδαχθέντες, τῆς οὐσίας αὐτῆς ἐν
divine nature working having-been-taught of-the essence itself in
περινοίᾳ διὰ τῆς φωνῆς ταύτης οὐκ ἐγενόμεθα.
comprehension through the name this not we-came
85 Διονύσιος ὁ Ἀρεοπαγίτης, ὁ μετὰ τοὺς θεσπεσίους
Dionysius the Areopagite the(-one) after the divine
ἀποστόλους ἐξοχώτατος ἐν θεολόγοις, μετὰ τὸ διευκρινῆσαι
apostles most-excellent among theologians after the to-distinguish
τὴν κατὰ τὰς ὑποστάσεις τοῦ Θεοῦ διάκρισιν, φησίν·
the according-to the hypostases — of-God distinction says
«Εἰ δὲ καὶ θεία διάκρισίς ἐστιν ἡ ἀγαθοπρεπὴς πρόοδος,
if and also divine distinction is the goodly procession
τῆς ἑνώσεως τῆς θείας ὑπερηνωμένως ἑαυτὴν ἀγαθότητι
of-the union the divine super-unitedly itself by-goodness
πληθυνούσης τε καὶ πολυπλασιαζούσης.» Καὶ μετά τινα·
multiplying both and manifolding and after some(-words)
«Διάκρισιν δὲ θείαν εἶναί φαμεν τὰς ἀγαθοπρεπεῖς τῆς
distinction and divine to-be we-say the goodly of-the
θεαρχίας προόδους. Δωρουμένη γὰρ πᾶσι τοῖς οὖσι
thearchy processions bestowing for on-all the beings
καὶ ὑπερχέουσα τὰς τῶν ὅλων ἀγαθῶν μετουσίας,
and pouring-over the of-the whole good(-things) participations
ἡνωμένως μὲν διακρίνεται, πληθύνεται δὲ ἑνικῶς· καὶ
unitedly indeed it-is-distinguished is-multiplied and singularly and
πολυπλασιάζεται τοῦ ἑνὸς ἀνεκφοιτήτως.» Καὶ μετά
manifolded from-the one without-going-out and after
τινα· «Ταύτας ἡμεῖς τὰς κοινὰς καὶ ἡνωμένας τῆς
some(-words) these we the common and united of-the
ὅλης θεότητος διακρίσεις, ἢ τὰς ἀγαθοπρεπεῖς προόδους,
whole godhead distinctions or the goodly processions
ὑμνῆσαι κατὰ τὸ δυνατὸν πειρασόμεθα·» δεικνὺς σαφῶς
to-hymn according-to the possible we-shall-try showing clearly

εἶναι καὶ ἑτέραν διάκρισιν ἐπὶ τοῦ Θεοῦ, ἀλλ᾽ οὐ τὴν
to-be also another distinction in — God but not the
ὑποστατικὴν μόνην· ἣν τὴν ἑτέραν παρὰ τὴν ὑποστατικὴν
hypostatic only which the other beside the hypostatic
διάκρισιν, καὶ θεότητος διάκρισιν καλεῖ. Ἡ γὰρ κατὰ
distinction also of-godhead distinction he-calls the for according-to
τὰς ὑποστάσεις διάκρισις, οὐ θεότητός ἐστι διάκρισις.
the hypostases distinction not of-godhead is distinction
Καὶ κατὰ μὲν τὰς θείας προόδους καὶ ἐνεργείας,
and according-to indeed the divine processions and workings
πληθύνεσθαι καὶ πολυπλασιάζεσθαι λέγει τὸν Θεόν· καὶ τὴν
to-be-multiplied and to-be-manifolded he-says — God and the
αὐτὴν ἐνταῦθα πρόοδον, καὶ προόδους εἶναι λέγει· ἐκεῖ δέ,
same here procession and processions to-be he-says there and
οὐ πολυπλασιάζεται τὸ Θεῖον, ἄπαγε! οὐδὲ καθὰ Θεὸς
not is-manifolded the Divine away-with(-it) nor as God
διακρίνεται. Τριὰς γὰρ ἡμῖν ὑπάρχει ὁ Θεός, ἀλλ᾽ οὐχὶ
is-it-distinguished (a)-Trinity for to-us is — God but not
τριπλοῦς. Καὶ δείκνυσι δὲ καὶ τὸ ἄκτιστον τούτων τῶν
threefold and he-shows too also the uncreatedness of-these the
προόδων καὶ ἐνεργειῶν· θείας τε γὰρ αὐτὰς καλεῖ, καὶ
processions and workings divine both for them he-calls and
τῆς ὅλης φησὶ θεότητος εἶναι διακρίσεις· καὶ αὐτὴν ἑαυτὴν
of-the whole he-says godhead to-be distinctions and itself it
τὴν θεαρχίαν, κατὰ τὰς θείας προόδους καὶ ἐνεργείας
the thearchy according-to the divine processions and workings
ταύτας πληθύνειν λέγει καὶ πολυπλασιάζειν· οὐκ ἔξωθέν
these to-multiply he-says and to-manifold not from-outside
τι προσλαμβάνουσαν, ἄπαγε! ἀλλὰ καὶ ὑμνῆσαι τὰς
anything taking-on away-with(-it) but also to-hymn the
προόδους ταύτας ἐπαγγέλλεται. Καὶ προστίθησι, κατὰ
processions these he-promises and he-adds according-to

τὸ δυνατόν, δεικνὺς καὶ ὑπερυμνήτους ταύτας οὔσας,
the possible showing also super-hymnable these being
ὁ τῶν θείων ὑμνῳδῶν ἐξοχώτατος οὗτος.
the(-one) of-the divine hymners most-excellent this(-one)
86 Ὁ αὐτὸς θεοφάντωρ, εἰπὼν ἀνωτέρω θείαν διάκρισιν
the same revealer-of-God having-said above divine distinction
εἶναι τὴν ἀγαθοπρεπῆ πρόοδον, ἐπάγει· «Ἡνωμέναι μέν
to-be the goodly procession adds united indeed
εἰσι κατὰ τὴν θείαν διάκρισιν αἱ ἔσχατοι μεταδόσεις.»
are according-to the divine distinction the last impartations
Μεταδόσεις μὲν οὖν ἐνταῦθα συλλαβὼν πάσας τὰς
impartations indeed then here having-gathered all the
προόδους καὶ ἐνεργείας τοῦ Θεοῦ ἐκάλεσε. Προσέθηκε δὲ
processions and workings — of-God he-called he-added and
τὸ ἀσχέτους εἶναι ταύτας, ἵνα μήτις νομίσῃ ταύτας εἶναι
the unrelated to-be these that not-anyone think these to-be
τὰ ἀποτελέσματα· οἷον τὴν ἑκάστου τῶν ὄντων οὐσίαν,
the effects such-as the of-each of-the beings essence
ἢ τὴν ἐν τοῖς ζῶσιν αἰσθητὴν ζωήν, ἢ τὸν ἐν τοῖς
or the in the living(-things) sensible life or the in the
λογικοῖς καὶ νοεροῖς ἐνόντα λόγον τε καὶ νοῦν. Πῶς
rational and intellectual(-beings) being-in reason both and mind how
γὰρ ἂν εἴη ταῦτ' ἐν τῷ Θεῷ ἄσχετα, κτιστά γε ὄντα;
for — would-be these in — God unrelated created indeed being
πῶς δὲ αἱ τοῦ Θεοῦ ἄσχετοι πρόοδοι καὶ μεταδόσεις
how and the — of-God unrelated processions and impartations
κτίσματα; τῆς ἀσχέτου μεταδόσεως φυσικῶς ἐνούσης
creatures of-the unrelated impartation naturally being-in
τῷ μεταδιδόντι, καθάπερ ἐπὶ τοῦ φωτὸς ὁρῶμεν.
in-the(-one) imparting as in the light we-see

Προϊὼν ὁ μέγας οὗτος, τὰς τοιαύτας προόδους καὶ 87
proceeding the great this(-man) the such processions and
ἐνεργείας τοῦ Θεοῦ, ἑτέροις τε ὀνόμασι θεοπρεπέσιν ἀνυμνεῖ,
workings — of-God with-other both names fitting-God hymns
καὶ μετοχὰς καὶ αὐτομετοχὰς καλεῖ, καὶ ὑπὲρ τὰ ὄντα
and participations and participations-themselves he-calls and beyond the beings
εἶναι πολλαχοῦ τῶν λόγων δείκνυσι, καὶ παραδείγματα
to-be in-many-places of-the treatises he-shows and paradigms
τῶν ὄντων εἶναι ταύτας προϋφεστηκυίας ἐν Θεῷ καθ᾽
of-the beings to-be these preexisting in God according-to
ὑπερούσιον ἕνωσιν. Πῶς οὖν ἂν εἶεν αὗται κτίσματα;
superessential union how then — would-be these creatures
Ἑφεξῆς δὲ καὶ τί ταῦτα τὰ παραδείγματα διδάσκων
next and also what these the paradigms teaching
ἐπιφέρει· «Παραδείγματα δέ φαμεν εἶναι, τοὺς ἐν Θεῷ τῶν
he-adds paradigms and we-say to-be the in God of-the
ὄντων οὐσιοποιούς, καὶ ἑνιαίως προϋφεστῶτας λόγους· οὓς ἡ
beings essence-making and unitedly preexisting reasons which the
θεολογία προορισμοὺς καλεῖ, καὶ θεῖα καὶ ἀγαθὰ θελήματα,
theology predeterminations calls and divine and good wills
τῶν ὄντων ἀφοριστικὰ καὶ ποιητικά· καθ᾽ οὓς ὁ
of-the beings defining and making according-to which the
ὑπερούσιος τὰ ὄντα πάντα καὶ προώρισε, καὶ παρήγαγε.»
superessential(-One) the beings all both predetermined and brought-forth
Πῶς οὖν οἱ προορισμοὶ καὶ τὰ ποιητικὰ τῶν ὄντων θεῖα
how then the predeterminations and the making of-the beings divine
θελήματα κτιστά; πῶς δ᾽ οὐ φανεροὶ τυγχάνουσιν ὄντες
wills created how and not manifest are being
τὴν τοῦ Θεοῦ πρόνοιαν εἰς κτίσμα κατασπῶντες οἱ
the — of-God providence into (a)-creature dragging-down the(-ones)
τὰς προόδους ταύτας καὶ ἐνεργείας τιθέμενοι κτιστάς; Ἡ
the processions these and workings setting-down (as)-created the

γὰρ οὐσιοποιός, καὶ ζωοποιός, καὶ σοφοποιός, καὶ ἁπλῶς
for essence-making and life-making and wisdom-making and simply
ἡ ποιητική, καὶ συνεκτικὴ τῶν κτιστῶς ὄντων ἐνέργεια,
the making and sustaining of-the createdly being(-things) working
ἔστι τὰ θεῖα θελήματα, καὶ αἱ θεῖαι αὗται μετοχαὶ καὶ
is the divine wills and the divine these participations and
δωρεαὶ τῆς πάντων αἰτίας ἀγαθότητος.
gifts of-the of-all cause goodness

88 Ἡ μὲν οὖν τοῦ αὐτοεῖναι μετοχή, κατ' οὐδένα τρόπον
the indeed then of-the being-itself participation in no way
οὐδενὸς μετέχει, ὡς καὶ ὁ μέγας Διονύσιός φησιν· αἱ δ'
in-nothing participates as also the great Dionysius says the but
ἄλλαι μετοχαί, ᾗ μέν εἰσι μετοχαί τε καὶ ἀρχαὶ
other participations in-so-far-as indeed they-are participations both and principles
τῶν ὄντων, μετέχουσι τοπαράπαν οὐδενός· οὐδὲ γὰρ ἡ
of-the beings participate at-all in-nothing not for the
πρόνοια προνοίας, οὐδ' ἡ ζωὴ ζωῆς μετείληχεν· ᾗ
providence of-providence nor the life of-life has-partaken in-so-far-as
δ' ἔχουσι τὸ εἶναι, μετέχειν λέγονται τοῦ αὐτοεῖναι· ὡς
but they-have the being to-participate they-are-said in-the being-itself as
χωρὶς αὐτοῦ μὴ οὖσαι, μηδὲ μετεχόμεναι· καθάπερ οὐδ' ἡ
without it not being nor participated as not-even the
πρόγνωσις χωρὶς τῆς γνώσεως· διὸ ὡς αὐτομετοχαί,
foreknowledge without the knowledge wherefore as participations-themselves
οὐδαμῶς εἰσι κτισταί. Ταῦτ' ἄρα καὶ κατὰ τὸν θεῖον
in-no-way are-they created these then also according-to the divine
Μάξιμον, οὐδέ ποτε τοῦ εἶναι ἤρξαντο· καὶ περὶ τὸν Θεὸν
Maximus not-even ever of-the being they-began and about — God
οὐσιωδῶς θεωροῦνται, καὶ οὐκ ἦν ὅτε οὐκ ἦσαν. Οἱ δὲ
essentially are-contemplated and not there-was when not they-were the but
ἐναντίοι, τὴν αὐτοζωήν, καὶ αὐτοαγαθότητα, καὶ τὰ τοιαῦτα
opponents the life-itself and goodness-itself and the such(-things)

δυσσεβῶς νομίζοντες κτιστά, ὅτι μετέχει τῆς τῶν ὄντων
impiously considering created because it-partakes of-the of-the beings
κοινῆς ἐπωνυμίας, οὐ συνορῶσιν, ὡς εἰ καὶ ὄντα λέγεται,
common name not they-perceive that if even beings they-are-called
ἀλλὰ καὶ ὑπὲρ τὰ ὄντα ἐστί· καθάπερ αὐτός φησιν
yet also beyond the beings they-are as himself says
ὁ μέγας Διονύσιος· ῥᾳδίως δ' ἂν οἱ διὰ τοῦτο
the great Dionysius easily and — the(-ones) because-of this
τὰς αὐτομετοχὰς τοῖς κτίσμασι συντάττοντες, καὶ τὸ
the participations-themselves with-the creatures ranking also the
Πνεῦμα τὸ ἅγιον ἡγήσαντο κτιστόν· τοῦ μεγάλου Βασιλείου
Spirit the holy might-consider created the great Basil
λέγοντος, μετέχειν αὐτὸ τῶν θεοπρεπῶν ὀνομάτων.
saying to-partake it of-the God-befitting names
Εἰ δέ τις φαίη μόνην τὴν αὐτοῦπαρξιν εἶναι μετοχήν, 89
if but anyone say only the existence-itself to-be (a)-participation
ὡς μόνην μὴ μετέχουσαν, ἀλλὰ μετεχομένην μόνον (αἱ γὰρ
as alone not participating but participated only the for
ἄλλαι μετέχουσιν αὐτῆς)· γνώτω μὴ συνετῶς διανοούμενος
other(-ones) participate in-it let-him-know not intelligently thinking
περὶ τῶν ἄλλων μετοχῶν. Τὰ γὰρ ζῶντα, ἢ τὰ ἅγια, ἢ
about the other participations the for living(-things) or the holy(-things) or
τὰ ἀγαθά, οὐ διὰ τὸ ἁπλῶς εἶναι, καὶ τῆς αὐτοϋπάρξεως
the good(-things) not because-of the simply to-be and of-the existence-itself
μετέχειν, ζῆν λέγεται μεθέξει, καὶ ἁγιάζεσθαι καὶ
to-partake to-live are-said by-participation and to-be-sanctified and
ἀγαθύνεσθαι· ἀλλὰ τῷ τῆς αὐτοζωῆς μετέχειν, καὶ
to-be-made-good but by-the of-the life-itself to-partake and
αὐτοαγιότητος, καὶ αὐτοαγαθότητος. Ἡ δὲ αὐτοαγαθότης, ἢ
of-holiness-itself and of-goodness-itself the but goodness-itself or
καὶ τἄλλα τὰ τοιαῦτα, οὐκ ἄλλης αὐτοζωῆς μεθέξει γίνεται
also the-others the such(-things) not by-another life-itself's participation becomes

αὐτοζωή· διὸ καὶ καθὸ αὐτοζωή, τῶν μετεχομένων,
life-itself wherefore also in-so-far-as (it-is)-life-itself of-the participated(-things)
ἀλλ᾽ οὐ τῶν μετεχόντων ἐστί. Τὸ δὲ μὴ μετέχον ζωῆς,
but not of-the participating is the(-thing) but not participating of-life
ἀλλ᾽ αὐτὸ μετεχόμενον καὶ ζωοποιοῦν τὰ ζῶντα, πῶς
but itself participated and making-alive the living(-things) how
ἂν εἴη κτίσμα; Κἀπὶ τῶν ἄλλων μετοχῶν ὁμοίως.
— would-it-be (a)-creature also-in the other participations likewise

XIV · GREGORY PALAMAS, ONE HUNDRED AND FIFTY CHAPTERS, 90–121

Maximus' creative providences are common to the Trinity and uncreated. Like the sun's light and heat, God's impartations are his natural and essential workings, uncreated, and only the purified partake of the deifying grace. Palamas argues by reduction that if the working did not differ from the essence, to beget would be to create, and foreknowledge, will, and creation would collapse into one. God is in himself and in all things by his sustaining working; the saints partake of it, never of the essence, which, partaken by all, would be myriad-hypostatic. The life of which Cyril speaks is God's natural working, not the divine essence, and to make that life the Son in every respect is Sabellian.

90 Συμφθεγγέσθω νῦν ἡμῖν καὶ Μάξιμος ὁ θεῖος, τὴν
let-speak-with now us also Maximus the divine the
ποιητικὴν τῶν ὄντων πρόνοιαν τὰς προόδους εἶναι ταύτας
making of-the beings providence the processions to-be these
τοῦ Θεοῦ γράφων ἐν Σχολίοις· «Κοιναὶ δέ εἰσι τῆς
— of-God writing in Scholia common and are of-the
τρισυποστάτου διακεκριμένης ἑνάδος, αἱ δημιουργικαὶ
three-hypostatic distinguished unity the creative
πρόνοιαί τε καὶ ἀγαθότητες· τουτέστιν αἱ οὐσιώσεις,
providences both and goodnesses that-is the essence-givings
αἱ ζωώσεις, αἱ σοφοποιήσεις.» Τῷ μὲν οὖν πολλὰς
the life-givings the wisdom-makings by-the indeed then many

φάναι ταύτας καὶ διακεκριμένας, ἔδειξε μὴ τὴν οὐσίαν
to-say these and distinguished he-showed not the essence
οὔσας ταύτας τοῦ Θεοῦ· μία γὰρ αὕτη καὶ παντάπασιν
being these — of-God one for (is)-this and altogether
ἀδιαίρετος. Ἐπεὶ δὲ κοινὰς ἔφη τῆς τρισυποστάτου
indivisible since and common he-said of-the three-hypostatic
διακεκριμένης ἑνάδος, οὐδὲ τὸν Υἱὸν εἶναι, καὶ τὸ Πνεῦμα
distinguished unity not-even the Son to-be and the Spirit
τὸ ἅγιον παρέστησεν ἡμῖν· τούτων γὰρ οὐδὲν τῶν τριῶν
the holy he-presented to-us of-these for none of-the three
ἐνέργεια κοινή. Τῷ δὲ μὴ μόνον προνοίας ταύτας
(is)-(a)-working common by-the and not only providences these
φάναι καὶ ἀγαθότητας, ἀλλὰ καὶ δημιουργικάς, ἀκτίστους
to-say and goodnesses but also creative uncreated
ὑπαρχούσας ἔδειξεν. Εἰ γὰρ μή, δεδημιουργημένον ἔσται
being he-showed(-them) if for not created will-be
τὸ δημιουργικόν. Οὐκοῦν ἑτέρῳ δημιουργικῷ· κἀκεῖνο πάλιν
the creative therefore by-another creative and-that again
ἑτέρῳ δεδημιουργημένον ἔσται· καὶ πρὸς τὸ εἰς ἔσχατον
by-another created will-be and to the to (the)-last
τοῦτ' ἐλαύνειν ἀτοπίας, οὐδ' ἐπ' ἄπειρον στήσεται βαδίζον.
this to-drive of-absurdity nor to infinity will-it-stop going
Αἱ τοῦ Θεοῦ ἄρα πρόοδοι καὶ ἐνέργειαι ἄκτιστοί τέ εἰσι,
the — of-God then processions and workings uncreated both are
καὶ οὐσία τις τούτων οὐκ ἔστιν, ἀλλ' οὐδὲ ὑπόστασις.
and essence any of-these not is but nor hypostasis
Ἐπεὶ δὲ καὶ πολυειδὲς ὑπέστησε τὸ πᾶν ὁ προαγωγεὺς καὶ 91
since and also manifold established the all the producer and
κοσμήτωρ τοῦ παντὸς ἀνεικάστῳ ἀγαθότητος ὑπερβολῇ,
adorner of-the all by-incomparable of-goodness excess
τὰ μὲν εἶναι μόνον ἐθελήσας, τὰ δὲ πρὸς
the(-things) indeed to-be only having-willed the(-things) and besides

τὸ εἶναι κεκτῆσθαι καὶ ζωήν· καὶ τὰ μὲν νοερᾶς
the being to-have also life and the(-things) indeed intellectual
ταύτης εὐμοιρεῖν, τὰ δὲ μόνης ἀπολαύειν τῆς
of-this to-have-share-in the(-things) and only to-enjoy the(-life)
κατ᾽ ἀμφοτέρων, ἔστι δ᾽ ἃ καὶ μικτὴν ταύτην
according-to both there-are and which also mixed this
ἐξ ἀμφοτέρων ἐσχηκέναι· καὶ τῶν λογικὴν καὶ
from both to-have-had and of-the(-ones) rational and
νοερὰν παρ᾽ αὐτοῦ λαβόντων τὴν ζωήν, τῇ πρὸς αὐτὸν
intellectual from him having-received the life by-the toward him
ἐθελουσίῳ νεύσει τῆς αὐτοῦ ἑνώσεως ἐπιτυγχάνειν, καὶ
voluntary inclination of-the his union to-attain and
ζῇν οὕτω θείως καὶ ὑπερφυῶς, τῆς αὐτοῦ κατηξιωμένα
to-live thus divinely and supernaturally of-the his deemed-worthy
θεουργοῦ χάριτος, καὶ ἐνεργείας. Ἡ γὰρ αὐτοῦ θέλησις,
divine-working grace and working the for his will
γένεσίς ἐστι τοῖς οὖσιν, ἢ προαγομένοις ἐκ μὴ ὄντων,
genesis is to-the beings either brought-forth from not being(-things)
ἢ βελτιουμένοις· καὶ τοῦτο διαφόρως. Διὰ ταύτην τὴν
or improved and this differently because-of this the
ἐπὶ τὰ ὄντα τοῦ θείου θελήματος διαφορὰν ἡ μία ἐκείνη
toward the beings of-the divine will difference the one that
πρόνοια καὶ ἀγαθότης (ταυτὸ δ᾽ εἰπεῖν, ἡ δι᾽ ἀγαθότητα
providence and goodness the-same and to-say the through goodness
πρὸς τὰ καταδεέστερα τοῦ Θεοῦ ἐπιστροφή), πολλαὶ
toward the lesser(-things) — of-God turning many
πρόνοιαί τε καὶ ἀγαθότητες, καὶ εἰσὶ καὶ λέγονται παρὰ
providences both and goodnesses both are and are-called by
τῶν θεοσόφων θεολόγων, ἀμερίστως ἐν τοῖς μεριστοῖς
the God-wise theologians indivisibly in the divisible(-things)
μεριζόμεναι καὶ ποικιλλόμεναι· ὡς τὴν μὲν προγνωστικὴν
divided and varied as the(-one) indeed foreknowing

τοῦ Θεοῦ δύναμιν καλεῖσθαι· τὴν δέ, δημιουργικήν τε καὶ
— *of-God power to-be-called the(-one) and creative both and*
συνεκτικήν· τούτων δ᾽ αὖ, κατὰ τὸν μέγαν Διονύσιον,
sustaining of-these and again according-to the great Dionysius
τὰς μὲν οὐσιώσεις, τὰς δὲ ζωώσεις, τὰς δὲ
the(-ones) indeed essence-givings the(-ones) and life-givings the(-ones) and
σοφοποιήσεις. Ἑκάστη δὲ τούτων κοινή ἐστι τοῦ Πατρὸς
wisdom-makings each and of-these common is of-the Father
καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· καὶ κατ᾽
and of-the Son and of-the holy Spirit and according-to
αὐτὴν ἑκάστην τὴν περὶ ἡμᾶς ἀγαθὴν καὶ θείαν θέλησιν,
it each the about us good and divine will
ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιόν ἐστιν,
the Father and the Son and the Spirit the holy is
ἡ οὐσιοποιὸς καὶ ζωοποιὸς καὶ σοφοποιὸς ἐνέργειά τε
the essence-making and life-making and wisdom-making working both
καὶ δύναμις· ἃς καὶ ἀσχέτους μεταδόσεις, καὶ ἀμειώτους
and power which also unrelated impartations and undiminished
προσείρηκε· τῶν κτιστῶν ὁμοῦ τε πάντων ἐξαίρων,
he-called from-the created(-things) together both all exalting(-them)
καὶ φυσικῶς ἐνεῖναι διδάσκων τῷ μεταδιδόντι.
and naturally to-be-in teaching in-the(-one) imparting
Ὥσπερ ὁ ἥλιος, ἀμειώτως τοῖς μετέχουσι μεταδιδοὺς 92
as the sun undiminishedly to-the(-ones) partaking imparting
θέρμης καὶ φωτός, ἐμφύτους ταῦτ᾽ ἔχει καὶ οὐσιώδεις
of-heat and of-light innate these has and essential
ἐνεργείας· οὕτω καὶ αἱ θεῖαι μεταδόσεις, ἀμειώτως ἐνοῦσαι
workings thus also the divine impartations undiminishedly being-in
τῷ μεταδιδόντι, φυσικαὶ καὶ οὐσιώδεις ἐνέργειαί εἰσιν
in-the(-one) imparting natural and essential workings are
αὐτοῦ· τοιγαροῦν καὶ ἄκτιστοι. Καθάπερ δὲ τοῦ μὲν
his therefore also uncreated just-as and of-the indeed

ἡλιακοῦ φωτός, οὐδ᾽ ἴχνος ὑπολείπεται τοῦ ἡλίου ὄντος
solar light not-even (a)-trace remains the sun being
ὑπὸ γῆν, καὶ τοὺς ὑπὲρ γῆν ἐπιλιπόντος, οὐδ᾽ ἔνι
under earth and the(-ones) above earth having-left nor is-it(-possible)
τὸ τῆς αὐγῆς ταύτης ἀπολαῦον ὄμμα μὴ ἀνακεκρᾶσθαι
the of-the radiance this enjoying eye not to-be-mingled
πρὸς αὐτήν, καὶ δι᾽ αὐτῆς ἡνῶσθαι τῷ βλύζοντι τὸ
with it and through it to-be-united to-the(-one) gushing-forth the
φῶς· ἡ δ᾽ ἐκεῖθεν θέρμη καὶ ὅσα ἐξ αὐτῆς τελεῖται
light the but from-there heat and as-many-as from it are-accomplished
συμβαλλομένης πρὸς γένεσίν τε καὶ αὔξησιν τοῖς αἰσθητοῖς,
contributing toward generation both and growth for-the sensible(-things)
καὶ τὴν τῶν χυμῶν καὶ ποιοτήτων πολυειδῆ διαφοράν,
and the of-the humors and qualities manifold difference
οὐκ ἐπιλείπει ταῦτα, κἂν μὴ τὸ συναφὲς ἔχῃ διὰ
not fails these even-if not the connection it-have through
τῆς ἀκτῖνος πρὸς τὸν ἥλιον· τὸν αὐτὸν τρόπον ὡς κατ᾽
the ray toward the sun the same way as in
ἀμυδρὰν ἐν αἰσθητοῖς εἰκόνα, τῶν ἐπιβαλλόντων
(a)-faint among sensible(-things) image of-the(-ones) aspiring
μόνων τῷ ὑπερφυεῖ καὶ θειοτάτῳ φωτί, τῆς θεοποιοῦ
only to-the supernatural and most-divine light of-the deifying
χάριτος εἰλικρινῶς μετέχειν, καὶ δι᾽ αὐτῆς ἡνῶσθαι
grace purely to-partake and through it to-be-united
τῷ Θεῷ· τὰ δ᾽ ἄλλα πάντα, τῆς δημιουργικῆς
— to-God the(-things) and other all of-the creative
ἐνεργείας εἰσὶν ἀποτελέσματα· χάριτι μὲν ἐκ μὴ ὄντων
working are effects by-grace indeed from not being(-things)
προηγμένα, δηλονότι δωρεάν· οὐ κατηγλαϊσμένα δὲ τῇ
brought-forth clearly freely not made-glorious but by-the
χάριτι· ἥτις τῆς τοῦ Θεοῦ λαμπρότητος ἐπώνυμόν ἐστιν.
grace which of-the — of-God brightness namesake is

Ἡ τοῦ Θεοῦ λαμπρότης αὕτη καὶ θεοποιὸς ἐνέργεια, ἧς 93
the — of-God brightness this and deifying working of-which
τὰ μετέχοντα θεοῦται, θεία τίς ἐστι χάρις, ἀλλ᾽ οὐχ ἡ
the(-things) partaking are-deified divine some is grace but not the
φύσις τοῦ Θεοῦ· οὐχ ὡς ἀποῦσα τῶν κεχαριτωμένων,
nature — of-God not as absent from-the(-ones) favored
κατὰ τὴν τῶν ἐναντίων ληρώδη συκοφαντίαν (πανταχοῦ
according-to the of-the opponents silly false-accusation everywhere
γὰρ ἡ φύσις τοῦ Θεοῦ)· ἀλλ᾽ ὡς οὐκ οὖσα μεθεκτή·
for (is)-the nature — of-God but as not being participable
μηδενὸς ὄντος κτιστοῦ, καθὰ προϋποδέδεικται, τοῦ
nothing being created as has-been-shown-before of-the(-thing)
δυνηθέντος ἂν μεταλαχεῖν αὐτῆς. Καὶ ἡ θεία ἐνέργεια καὶ
able — to-partake of-it and the divine working and
χάρις τοῦ Πνεύματος, πανταχοῦ παροῦσα, καὶ ἀχώριστος
grace of-the Spirit everywhere being-present and inseparable
αὐτοῦ διατελοῦσα, τοῖς δι᾽ ἀκαθαρσίαν ἀνεπιτηδείοις
from-it remaining to-the(-ones) through impurity unfit
πρὸς μετάληψιν, ἀμέθεκτός ἐστιν ὥσπερ ἀποῦσα. «Ὥσπερ
for participation imparticipable is as-if absent as
γάρ, φησίν, αἱ τῶν προσώπων ἐμφάσεις, οὐκ ἐν πάσαις
for he-says the of-the faces reflections not in all
ταῖς ὕλαις γίνονται, ἀλλ᾽ ἐν ταῖς λειότητά τινα καὶ
the materials come-about but in the(-ones) smoothness some and
διαφάνειαν κεκτημέναις· οὕτως οὐκ ἐν πάσαις ταῖς ψυχαῖς
transparency having thus not in all the souls
ἡ τοῦ Πνεύματος ἐνέργεια, ἀλλ᾽ ἐν ταῖς μηδὲν
(is)-the of-the Spirit working but in the(-ones) nothing
σκολιὸν ἐχούσαις, μηδὲ στραγγαλιῶδες.» Καὶ πάλιν·
crooked having nor twisted and again
«Πᾶσι μὲν πάρεστι τὸ Πνεῦμα τὸ ἅγιον· ἀλλὰ τοῖς
to-all indeed is-present the Spirit the holy but to-the(-ones)

μὲν καθαρεύουσι τῶν παθῶν, τὴν ἰδίαν ἐμφαίνει δύναμιν·
indeed being-pure of-the passions the own it-shows power
τοῖς δὲ τὸ ἡγεμονικὸν συγκεχυμένον ἔχουσιν ἀπὸ τῶν
to-the(-ones) and the ruling(-part) confused having from the
τῆς ἁμαρτίας σπίλων, οὐκ ἔτι.»
of-the sin stains no longer

94 Καθάπερ τὸ τοῦ ἡλίου φῶς, τῆς ἀκτῖνος, καὶ τῆς
just-as the of-the sun light from-the ray and from-the
δι' αὐτῆς χορηγουμένης θέρμης, ἀχώριστόν ἐστιν· ἀλλὰ
through it supplied heat inseparable is but
τῶν ἀπολαβόντων τοὺς ὀφθαλμοὺς μὴ κεκτημένοις,
for-the(-ones) having-received the eyes not having
ἀμέθεκτόν ἐστι τὸ φῶς, τῆς παρὰ τῆς ἀκτῖνος μόνης
imparticipable is the light the from the ray only
ἀντιλαμβανομένοις θέρμης· οὐ γὰρ ἔστιν ὅλως ἀντίληψιν
perceiving of-heat not for it-is(-possible) at-all perception
φωτὸς γενέσθαι τοῖς τῶν ὀμμάτων ἀμοιροῦσιν· οὕτω
of-light to-come-about to-the(-ones) of-the eyes without-share thus
καὶ πολλῷ μᾶλλον, οὐδενὶ τῶν τῆς θείας αἴγλης
also by-much more to-none of-the(-ones) the divine radiance
ἀπολαυόντων ἔσται μέθεξις τῆς οὐσίας τοῦ Κτίσαντος.
enjoying there-will-be participation of-the essence of-the Creator
Οὐ γὰρ ἔστιν, οὐκ ἔστι τῶν κτισμάτων οὐδέν, ὃ
not for there-is not there-is of-the creatures nothing which
δύναμιν ἴσχει δεκτικὴν τῆς τοῦ Κτίσαντος φύσεως.
(a)-power has receptive of-the of-the Creator nature

95 Συμμαρτυρείτω δὲ κἀνταῦθα νῦν ἡμῖν τὸ μήτε κτιστήν,
let-bear-witness-with and here-also now with-us the neither created
μήτ' οὐσίαν εἶναι τοῦ Θεοῦ τὴν μετεχομένην θείαν ἐνέργειαν,
nor essence to-be — of-God the participated divine working
καὶ ὁ τοῦ Χριστοῦ Βαπτιστὴς Ἰωάννης, σὺν Ἰωάννῃ τῷ
also the — of-Christ Baptist John with John the(-one)

μᾶλλον τῶν ἄλλων πεφιλημένῳ τῷ Χριστῷ μαθητῶν,
more than-the others loved — by-Christ of-the-disciples
καὶ τῷ χρυσῷ τὴν γλῶτταν Ἰωάννῃ· ὁ μὲν ἱστορῶν
and the golden the tongue John the(-one) indeed narrating
τε καὶ συγγραφόμενος, ὁ δὲ τοῦ Χριστοῦ Πρόδρομος
both and writing the and — of-Christ Forerunner
καὶ Βαπτιστὴς λέγων, οὐκ ἐκ μέτρου δίδοσθαι παρὰ Θεοῦ
and Baptist saying not by measure to-be-given from God
Πατρὸς τὸ Πνεῦμα τῷ Χριστῷ· ὁ δὲ χρυσορρήμων,
Father the Spirit — to-Christ the and golden-mouthed
ἐξηγούμενος καὶ γράφων, ὅτι τὸ Πνεῦμα ἐνταῦθα τὴν
interpreting and writing that the Spirit here the
ἐνέργειαν λέγει. Πάντες γὰρ ἡμεῖς, μέτρῳ τὴν τοῦ
working he-calls all for we by-measure the of-the
Πνεύματος ἐνέργειαν λαμβάνομεν, ἐκεῖνος δὲ ἀμέτρητον καὶ
Spirit working receive that(-one) but unmeasured and
ὁλόκληρον ἔχει πᾶσαν τὴν ἐνέργειαν. Εἰ δὲ ἡ ἐνέργεια
whole has all the working if and the working
αὐτοῦ ἀμέτρητος, πολλῷ μᾶλλον ἡ οὐσία. Τὸ μὲν γὰρ
his (is)-unmeasured much more the essence the indeed for
εἰπεῖν Πνεῦμα τὴν ἐνέργειαν, μᾶλλον δὲ αὐτὸ τὸ Πνεῦμα
to-call Spirit the working rather but the-very the Spirit
τοῦ Θεοῦ, ὡς ὁ Βαπτιστὴς εἶπε, καὶ τῷ ἀμέτρητον εἶναι
— of-God as — Baptist said and by-the unmeasured to-be
ταύτην, τὸ ἄκτιστον αὐτῆς παρέστησεν· τῷ δὲ μέτρῳ
it the uncreatedness its he-presented by-the and by-measure
ταύτην ἡμᾶς λαμβάνειν, τὴν πρὸς τὴν ἄκτιστον οὐσίαν
it us to-receive the as-against the uncreated essence
τῆς ἀκτίστου ἐνεργείας διαφοράν· οὐδεὶς γὰρ οὐδέποτε τὴν
of-the uncreated working difference no-one for ever the
οὐσίαν τοῦ Θεοῦ λαμβάνει, ἀλλ᾽ οὐδὲ εἰ πάντας ὁμοῦ
essence — of-God receives but not-even if all together

συλλαβὼν εἴποις, καὶ ταῦτα μεριστῶς κατὰ λόγον
having-gathered you-should-say and these dividedly according-to proportion
τῆς ἑαυτοῦ καθάρσεως ἕκαστος. Προϊὼν δὲ ὁ Χρυσόστομος
of-the own purification each proceeding and — Chrysostom
Πατήρ, καὶ ἑτέραν διαφορὰν δείκνυσι τῆς ἀκτίστου οὐσίας
Father also another difference shows of-the uncreated essence
πρὸς τὴν ἄκτιστον ἐνέργειαν· Εἰ δὲ ἡ ἐνέργεια, λέγων,
as-against the uncreated working if and the working saying
τοῦ Πνεύματος ἀμέτρητος, πολλῷ μᾶλλον ἡ οὐσία.
of-the Spirit (is)-unmeasured much more the essence
96 Εἰ κατὰ τοὺς τῶν ἐναντίων λήρους, καὶ τοὺς κατ'
if according-to the of-the opponents nonsense and the(-ones) like
αὐτοὺς φρονοῦντας, μηδὲν διαφέρει τῆς θείας οὐσίας
them thinking in-nothing differs from-the divine essence
ἡ θεία ἐνέργεια, καὶ τὸ ποιεῖν, ὃ τῆς ἐνεργείας ἐστί,
the divine working also the to-make which of-the working is
κατ' οὐδὲν διοίσει τοῦ γεννᾷν καὶ ἐκπορεύειν, ἃ τῆς
in nothing will-differ from-the to-beget and to-send-forth which of-the
οὐσίας ἐστίν. Εἰ δὲ τὸ ποιεῖν τοῦ γεννᾷν καὶ ἐκπορεύειν
essence are if and the to-make from-the to-beget and to-send-forth
οὐ διενήνοχε, καὶ τὰ ποιήματα κατ' οὐδὲν διοίσει τοῦ
not has-differed also the things-made in nothing will-differ from-the
γεννήματος καὶ τοῦ προβλήματος· εἰ δὲ τοῦθ' οὕτως
offspring and from-the thing-sent-forth if and this thus
ἔχει κατ' αὐτούς, ὅ τε τοῦ Θεοῦ Υἱὸς καὶ τὸ Πνεῦμα
is according-to them the both — of-God Son and the Spirit
τὸ ἅγιον, κατ' οὐδὲν διοίσει τῶν κτισμάτων, καὶ τὰ
the holy in nothing will-differ from-the creatures and the
κτίσματα πάντα ἔσται τοῦ Θεοῦ, καὶ Πατρὸς γεννήματά τε
creatures all will-be — of-God and Father offspring both
καὶ προβλήματα, καὶ θεοποιηθήσεται ἡ κτίσις, καὶ ὁ Θεὸς
and things-sent-forth and will-be-deified the creation and — God

συντάξεται τοῖς κτίσμασι. Διὰ τοῦτο ὁ θεῖος Κύριλλος
will-be-ranked with-the creatures because-of this the divine Cyril
τὴν διαφορὰν ἐπιδεικνὺς τῆς τοῦ Θεοῦ οὐσίας τε καὶ
the difference showing of-the — of-God essence both and
ἐνεργείας, τῆς μὲν θείας φύσεως εἶναί φησι τὸ γεννᾷν, τὸ
working of-the indeed divine nature to-be he-says the to-beget the
δὲ ποιεῖν τῆς αὐτοῦ θείας ἐνεργείας, καὶ προσαποφαίνεται
and to-make of-the his divine working and declares-besides
σαφῶς λέγων· Φύσις δὲ καὶ ἐνέργεια οὐ ταυτόν.
clearly saying nature but and working (are)-not the-same
Εἰ μηδὲν διαφέρει τῆς θείας ἐνεργείας ἡ θεία οὐσία, καὶ 97
if in-nothing differs from-the divine working the divine essence also
τὸ γεννᾷν καὶ ἐκπορεύειν, οὐδὲν διοίσει τοῦ ποιεῖν· ποιεῖ
the to-beget and to-send-forth in-nothing will-differ from-the to-make makes
δὲ ὁ Θεὸς καὶ Πατὴρ δι᾽ Υἱοῦ ἐν ἁγίῳ Πνεύματι. Ὥστε
and — God and Father through (the)-Son in (the)-holy Spirit so-that
καὶ γεννᾷ καὶ ἐκπορεύει, κατὰ τὴν τῶν ἐναντίων δόξαν
also he-begets and sends-forth according-to the of-the opponents opinion
καὶ τῶν κατ᾽ αὐτούς, δι᾽ Υἱοῦ ἐν ἁγίῳ Πνεύματι.
and of-the(-ones) like them through (the)-Son in (the)-holy Spirit
Εἰ μηδὲν διαφέρει ἡ θεία οὐσία τῆς θείας ἐνεργείας, 98
if in-nothing differs the divine essence from-the divine working
οὐδὲ τῆς θελήσεως διενήνοχε, καὶ ἔσται ὁ μόνος
nor from-the will has-it-differed and will-be the only
ἐκ τῆς οὐσίας τοῦ Πατρὸς γεγεννημένος, καὶ ἐκ τῆς
from the essence of-the Father begotten also from the
θελήσεως κατ᾽ αὐτούς, ὡς ἔοικε, πεποιημένος.
will according-to them as it-seems made
Εἰ μηδὲν διαφέρει τῆς θείας ἐνεργείας ἡ τοῦ Θεοῦ 99
if in-nothing differs from-the divine working the — of-God
οὐσία, μαρτυρεῖται δὲ παρὰ τῶν θεοφόρων ὅτι καὶ
essence it-is-testified and by the God-bearers that also

ἐνεργείας πολλὰς ἔχει ὁ Θεός, ὡς καὶ δημιουργικὰς
workings many has — God as also creative
προνοίας εἶναι τούτου καὶ ἀγαθότητας, καθάπερ ἀνωτέρω
providences to-be his and goodnesses as above
δέδεικται, καὶ πολλὰς λοιπὸν οὐσίας ἔχει ὁ Θεός· ὃ
has-been-shown also many henceforth essences has — God which
μηδεὶς ποτ' εἶπεν, ἢ ἐφρόνησε τοῦ Χριστωνύμου γένους.
no-one ever said or thought — of-Christ-named race
100 Εἰ μηδὲν διαφέρουσι τῆς θείας οὐσίας αἱ τοῦ Θεοῦ
if in-nothing differ from-the divine essence the — of-God
ἐνέργειαι, οὐδὲ πρὸς ἀλλήλας ἔξουσι διαφοράν. Οὐκοῦν
workings nor as-against one-another will-they-have difference therefore
τῆς τοῦ Θεοῦ προγνώσεως οὐδὲν διενήνοχεν ἡ θέλησις,
from-the — of-God foreknowledge in-nothing has-differed the will
ὥστ' ἢ μὴ πάντα προγινώσκειν τὸν Θεὸν (οὐδὲ γὰρ
so-that either not all(-things) to-foreknow — God not-even for
πάντα θέλει τὰ γινόμενα), ἢ θελητὴν εἶναι καὶ
all(-things) does-be-will the(-things) happening or willer to-be even
creatures qualified for essences — God fashioned
Ἡ ἀποφατικὴ θεολογία οὐκ ἐναντιοῦται, οὐδὲ ἀναιρεῖ τὴν 123
the negative theology not opposes nor abolishes the
καταφατικήν, ἀλλὰ δείκνυσι τὰ καταφατικῶς ἐπὶ Θεοῦ
affirmative but shows the(-things) affirmatively of God
λεγόμενα, ἀληθῆ μὲν εἶναι καὶ εὐσεβῶς ἐπὶ Θεοῦ, οὐ
said true indeed to-be and piously of God not
καθ' ἡμᾶς δὲ ταῦτ' ἔχειν τὸν Θεόν. Οἷον ἔχει ὁ
according-to us however these(-things) to-have — God as has —
Θεὸς τὴν γνῶσιν τῶν ὄντων, ἔχομεν καὶ ἡμεῖς ἔστιν
God the knowledge of-the beings we-have also we there-are(-things)
ὧν, ἀλλ' ἡμεῖς μὲν ὡς ὄντων τε καὶ γενομένων, ὁ
of-which but we indeed as being both and having-come-to-be —
δὲ Θεός, οὐχ ὡς ὄντων ἢ γενομένων· ἐγίνωσκε γὰρ ταῦτ'
but God not as being or having-come-to-be he-knew for them
οὐδὲν ἧττον καὶ πρὶν γενέσεως αὐτῶν. Ὁ γοῦν
no less also before (the)-coming-to-be their the(-one) then
εἰπὼν περὶ Θεοῦ ὅτι οὐ γινώσκει τὰ ὄντα ᾗ ὄντα, οὐκ
having-said about God that not he-knows the beings as beings not
ἐναντιοῦται τῷ λέγοντι ὅτι γινώσκει ὁ Θεὸς τὰ ὄντα,
opposes the(-one) saying that knows — God the beings
καὶ ὄντα γινώσκει αὐτά. Ἔστι δὲ καὶ καταφατικὴ
and (as)-beings knows them there-is and also affirmative
θεολογία, δύναμιν ἀποφατικῆς θεολογίας ἔχουσα· ὡς ὅταν
theology (the)-power of-negative theology having as when
εἴπῃ τις· Πᾶσα γνῶσις κατά τινος ὑποκειμένου λέγεται,
says anyone all knowledge about some subject is-said

δηλονότι τοῦ γινωσκομένου. Ἡ δὲ τοῦ Θεοῦ γνῶσις
clearly the(-thing) known the but — of-God knowledge
κατ᾽ οὐδενὸς ὑποκειμένου λέγεται. Αὐτὸ γὰρ ἐκεῖνό φησιν,
about no subject is-said itself for that it-says
ὡς ὁ Θεὸς οὐ γινώσκει τὰ ὄντα ᾗ ὄντα· καὶ τὴν τῶν
that — God not knows the beings as beings and the of-the
ὄντων γνῶσιν οὐκ ἔχει, ὡς ἡμεῖς δηλονότι. Τοῦτον γὰρ τὸν
beings knowledge not has as we clearly this for the
τρόπον, καὶ τὸ μὴ εἶναι τὸν Θεὸν καθ᾽ ὑπεροχὴν λέγεται.
way also the not to-be — God by supereminence is-said
Ὁ δὲ τοῦτο λέγων, εἰς τὸ δεῖξαι μὴ καλῶς λέγειν τοὺς
the(-one) but this saying for the to-show not well to-speak the(-ones)
λέγοντας εἶναι τὸν Θεόν, φανερός ἐστι μὴ καθ᾽ ὑπεροχὴν
saying to-be — God manifest is not by supereminence
χρώμενος τῇ ἀποφατικῇ θεολογίᾳ, ἀλλὰ κατ᾽ ἔλλειψιν, ὡς
using the negative theology but by deficiency as
μηδαμῇ μηδαμῶς ὄντος τοῦ Θεοῦ. Τοῦτο δὲ ἀσεβείας ἐστὶν
in-no-way in-no-manner being — God this and of-impiety is
ὑπερβολή. Ὅ, φεῦ! πάσχουσιν οἱ διὰ τῆς ἀποφατικῆς
(the)-excess which alas suffer the(-ones) through the negative
θεολογίας ἐπιχειροῦντες ἀναιρεῖν, ὡς ἔχει ὁ Θεὸς καὶ
theology attempting to-abolish that has — God both
οὐσίαν καὶ ἐνέργειαν ἄκτιστον. Ἡμεῖς δ᾽ ὡς μὴ ὑπ᾽
essence and working uncreated we but as not by
ἀλλήλων ἀναιρουμένας, ἀμφοτέρας στέργομεν· βεβαιούμενοi
one-another abolished both cherish confirmed
μᾶλλον ὑφ᾽ ἑκατέρας εἰς τὴν εὐσεβῆ διάνοιαν.
rather by each toward the pious understanding
124 Τὰς τῶν ἐναντίων ἐρεσχελίας πάσας, τελέως καθελεῖν, καὶ
the of-the opponents quibbles all perfectly to-take-down and
πλατὺν λῆρον ἀποδεῖξαι, ἀποχρῶν εἶναι νομίζω, καὶ βραχὺ
wide nonsense to-show sufficient to-be I-think even (a)-short

ῥῆμα Πατρικόν. Ἄναρχον γάρ, φησί, καὶ ἀρχή, καὶ
saying patristic unoriginate for he-says both (the)-beginning and
τὸ μετὰ τῆς ἀρχῆς. Εἷς Θεός· ἀλλ᾽ οὐχ ἡ ἀρχή,
the(-One) with the beginning (are)-one God but not the beginning
τῷ ἀρχὴ εἶναι τοῦ ἀνάρχου διείργεται. Οὐ γὰρ φύσις
by-the beginning to-be of-the unoriginate is-separated not for nature
αὐτῷ ἡ ἀρχή· ὥσπερ οὐδ᾽ ἐκείνῳ τὸ ἄναρχον.
for-him (is)-the beginning as not-even for-that(-one) the unoriginateness
Περὶ γὰρ τὴν φύσιν, οὐ ταῦτα φύσις. Τί οὖν; ὅτι μὴ
about for the nature not these (are)-nature what then that not
φύσις, ἀλλὰ περὶ τὴν φύσιν ἡ ἀρχή, καὶ τὸ ἄναρχον,
nature but about the nature (are)-the beginning and the unoriginateness
κτιστὰ ταῦτ᾽ ἐρεῖ τις, εἰ μὴ μαίνοιτο; τούτων δὲ
created these(-things) will-say anyone unless — he-be-mad of-these but
ἀκτίστων ὄντων, καὶ τῇ φύσει τοῦ Θεοῦ προσόντων,
uncreated being and to-the nature — of-God belonging
σύνθετος παρὰ τοῦτο ὁ Θεός; Οὐδαμῶς· οὐ γὰρ διενήνοχε
compound because-of this — (is)-God in-no-way not for it-has-differed
τῆς θείας φύσεως· ἀλλ᾽ εἰ φύσις μᾶλλον εἴη τὰ
from-the divine nature but if nature rather were the(-things)
φυσικῶς προσόντα τῷ Θεῷ, σύνθετον εἶναι τὸ Θεῖον
naturally belonging — to-God compound to-be the Divine
πρὸς τοῖς ἄλλοις Πατράσι, καὶ ὁ μέγας διὰ πολλῶν
besides the other Fathers also the great through many(-words)
διδάσκει Κύριλλος. Σὺ δέ μοι δίελθε τὰ τοῦ μεγάλου
teaches Cyril you but for-me go-through the(-works) of-the great
Βασιλείου, καὶ τὰ τοῦ ἀδελφοῦ καὶ ἀδελφὰ
Basil and the(-works) of-the brother and brotherly(-things)
φρονοῦντος τούτῳ πρὸς Εὐνόμιον. Ἐκεῖ γὰρ εὑρήσεις
thinking with-him against Eunomius there for you-will-find

ἐναργῶς Εὐνομίῳ συνᾴδοντας τοὺς κατὰ τῶν ἐναντίων,
clearly with-Eunomius agreeing the(-ones) against the opponents
καὶ τῶν πρὸς αὐτοὺς ἀντιῤῥήσεων ἕξεις διαρκῶς
and of-the against them refutations you-will-have sufficiently
125 Διὰ τοὺς Εὐνομιανούς, δοκοῦντας μὴ τὴν αὐτὴν Πατρὸς
because-of — Eunomians thinking not the same of-Father
εἶναι καὶ Υἱοῦ οὐσίαν, ἐπειδὴ πᾶν τὸ περὶ Θεοῦ
to-be and of-Son essence since all the(-thing) about God
λεγόμενον, κατ᾽ οὐσίαν λέγεσθαι οἴονται, καὶ φιλονεικοῦσιν,
said in essence to-be-said they-think and contend
ὡς ἐπεὶ τὸ γεννᾶν καὶ γεννᾶσθαι διάφορά ἐστι, διὰ τοῦτο
that since the to-beget and to-be-begotten different are because-of this
καὶ οὐσίας διαφόρους εἶναι, καὶ διὰ τοὺς ἀντιλέγοντας
also essences different to-be and because-of the(-ones) contradicting
μὴ τὸν αὐτὸν Θεὸν εἶναι, τὸν ἔχοντα καὶ τὴν θείαν
not the same God to-be the(-one) having both the divine
οὐσίαν καὶ τὴν θείαν ἐνέργειαν· ἐπειδὴ πᾶν τὸ περὶ
essence and the divine working since all the(-thing) about
Θεοῦ λεγόμενον οὐσίαν εἶναι οἴονται, καὶ φιλονεικοῦσιν
God said essence to-be they-think and contend
ὡς διαφορά τίς ἐστιν οὐσίας καὶ ἐνεργείας θείας, πολλοὺς
that difference any is of-essence and working divine many
καὶ διαφόρους εἶναι θεούς· δείκνυται μὴ πᾶν τὸ περὶ
and different to-be gods it-is-shown not all the(-thing) about
Θεοῦ λεγόμενον κατ᾽ οὐσίαν λέγεσθαι· ἀλλὰ λέγεσθαι καὶ
God said in essence to-be-said but to-be-said also
ἀναφορικῶς· τουτέστι πρός τι, ὅπερ αὐτὸς οὐκ
relatively that-is in-relation-to something which he not
ἔστιν· ὥσπερ ὁ Πατὴρ λέγεται πρὸς τὸν Υἱόν. Οὐ γάρ
is as the Father is-called in-relation-to the Son not for
ἐστι Πατὴρ ὁ Υἱός· καὶ Κύριος πρὸς τὴν δουλεύουσαν
is Father the Son and Lord in-relation-to the serving

κτίσιν· κυριεύει γὰρ ὁ Θεὸς τῶν ἐν χρόνῳ καὶ ἐν
creation he-is-lord for — God of-the(-things) in time and in
αἰῶνι, καὶ αὐτῶν τῶν αἰώνων· τὸ δὲ κυριεύειν, ἄκτιστός
age and of-the-very the ages the and lordship uncreated
ἐστιν ἐνέργεια Θεοῦ διαφέρουσα τῆς οὐσίας, ὡς πρὸς
is (a)-working of-God differing from-the essence as in-relation-to
ἕτερόν τι λεγομένη, ὅπερ αὐτὸς οὐκ ἔστιν.
other something said which he not is
Οἱ Εὐνομιανοί, πᾶν ὅπερ ἐπὶ Θεοῦ λέγεται, οὐσίαν εἶναι 126
— Eunomians all which of God is-said essence to-be
λέγουσιν, ἵνα τὴν ἀγεννησίαν οὐσίαν εἶναι δογματίσωσι·
say that the unbegottenness essence to-be they-may-dogmatize
καὶ τὸν Υἱὸν ἐντεῦθεν ὡς τοῦ Πατρὸς διαφέροντα, εἰς
and the Son from-here as from-the Father differing into
κτίσμα, τό γε εἰς αὐτοὺς ἧκον, κατασπάσωσι. Καὶ ἡ
(a)-creature as-far-as indeed to them coming they-may-drag-down and the
πρόφασις αὐτοῖς, ἵνα, φασί, μὴ δύο γένοιντο θεοί· ὅ
pretext for-them (is)-that they-say not two might-come-to-be gods the
τε πρῶτος ὁ ἀγέννητος, καὶ ὁ δευτερεύων τούτου ὡς
both first the unbegotten and the(-one) second to-him as
γεννητὸς ὑπάρχων. Κατὰ μίμησιν τούτων καὶ οἱ ἐναντίοι,
begotten being in imitation of-these also the opponents
πᾶν ὅπερ ἐπὶ Θεοῦ λέγεται, οὐσίαν εἶναι λέγουσιν· ἵνα τὴν
all which of God is-said essence to-be say that the
μὴ χωριζομένην, διαφέρουσαν δὲ τῆς οὐσίας τοῦ Θεοῦ
not separated differing but from-the essence — of-God
ἐνέργειαν ὡς ἐξ ἐκείνης οὖσαν, μετεχομένην μέντοι παρὰ
working as from that being participated however by
τῶν ποιημάτων (Πάντα γάρ, φησί, μετέχει προνοίας ἐκ
the things-made all for he-says partake of-providence from
τῆς παναιτίου θεότητος ἐκβλυζομένης), δυσσεβῶς εἰς κτίσμα
the all-causal godhead gushing-forth impiously into (a)-creature

κατασπάσωσι. Καὶ ἡ πρόφασις αὐτοῖς, ἵνα, φασί, μὴ δύο
they-may-drag-down and the pretext for-them (is)-that they-say not two
γένοιντο θεότητες· ἥ τε ὑπὲρ ἐπωνυμίαν, καὶ αἰτίαν, καὶ
might-come-to-be godheads the both beyond name and cause and
μέθεξιν τρισυπόστατος οὐσία, καὶ ἡ ἐξ αὐτῆς προερχομένη,
participation three-hypostatic essence and the from it proceeding
μετεχομένη δὲ καὶ ὀνομαζομένη τοῦ Θεοῦ ἐνέργεια. Καὶ
participated and also named — of-God working and
γὰρ οὐ συνορῶσιν ὅτι καθάπερ ὁ Θεὸς καὶ Πατήρ, Πατὴρ
for not they-perceive that just-as — God and Father Father
λέγεται πρὸς τὸν ἴδιον Υἱόν, καὶ ἀκτίστως ἔχει τὸ
is-called in-relation-to the own Son and uncreatedly has the
Πατήρ εἶναι, εἰ καὶ μὴ οὐσίαν σημαίνει τὸ Πατήρ· οὕτω
Father to-be if even not essence signifies the Father thus
καὶ τὴν ἐνέργειαν ἀκτίστως ἔχει ὁ Θεός, εἰ καὶ διαφέρει
also the working uncreatedly has — God if even it-differs
τῆς οὐσίας ἡ ἐνέργεια. Καὶ ὅτε μίαν θεότητά φαμεν,
from-the essence the working and when one godhead we-say
πάντα ὅσα ἐστὶν ὁ Θεός φαμεν, καὶ τὴν οὐσίαν καὶ
all as-many-as is — God we-say both the essence and
τὴν ἐνέργειαν. Ἐκεῖνοι τοιγαροῦν εἰσιν οἱ διχοτομοῦντες
the working those therefore are the(-ones) dividing-in-two
δυσσεβῶς τὴν μίαν τοῦ Θεοῦ θεότητα εἰς κτιστὰ καὶ ἄκτιστα.
impiously the one — of-God godhead into created and uncreated
127 Συμβεβηκός ἐστι τὸ γινόμενον καὶ ἀπογινόμενον· ἀφ'
(an)-accident is the(-thing) coming-to-be and ceasing-to-be from
οὗ καὶ τὰ ἀχώριστα συμβεβηκότα συνορῶμεν. Ἔστι
which also the inseparable accidents we-perceive there-is
δέ πως συμβεβηκός, καὶ τὸ φυσικῶς προσόν, ὡς
and somehow accident also the(-thing) naturally belonging as
αὐξόμενόν τε καὶ μειούμενον· καθάπερ ἐν τῇ λογικῇ ψυχῇ
increasing both and decreasing as in the rational soul

ἡ γνῶσις. Ἀλλ᾽ οὐδὲν τοιοῦτον ἐν τῷ Θεῷ, ὅτι δὴ
the knowledge but nothing such (is)-in — God since indeed
παντάπασιν ἀμετάβλητος μένει· δι᾽ ἣν αἰτίαν, οὐδὲν
altogether unchangeable he-remains for which cause nothing
αὐτῷ κατὰ συμβεβηκὸς λέγοιτ᾽ ἄν. Οὐ μὴν πᾶν ὅπερ
to-him by accident would-be-said — not indeed all which
ἐπὶ Θεοῦ λέγεται, οὐσίαν σημαίνει· λέγεται γὰρ καὶ τὸ
of God is-said essence signifies is-said for also the
πρός τι· ὅπερ ἀναφορικόν ἐστι, καὶ ἀναφορᾶς
in-relation-to something which relative is and of-relation
πρὸς ἕτερον, ἀλλ᾽ οὐκ οὐσίας δηλωτικόν. Τοιοῦτόν
in-relation-to another but not of-essence indicative such
ἐστι καὶ ἡ θεία ἐνέργεια ἐπὶ Θεοῦ· οὔτε γὰρ οὐσία ἐστίν,
is also the divine working in God neither for essence is-it
οὔτε συμβεβηκός· εἰ καὶ συμβεβηκός πώς ἐστι παρ᾽
nor accident if even accident somehow it-is by
ὧν καλεῖται, θεολόγων δεικνύντων τοῦτο μόνον, ὅτι
whichever is-called theologians showing this only that
ἔστιν ἐν τῷ Θεῷ, καὶ οὐσία οὐκ ἔστιν.
it-is in — God and essence not it-is
Ἔτι ἡ θεία ἐνέργεια, εἰ καὶ συμβεβηκός ἐστιν ὅπως 128
further the divine working if even accident it-is however
λέγεται, ἀλλ᾽ ἐνθεωρεῖται τῷ Θεῷ, καὶ σύνθεσιν οὐκ ἐμποιεῖ.
it-is-called but is-contemplated-in — God and composition not produces
Καὶ Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος, γράφων περὶ
and Gregory the of-the theology namesake writing about
τοῦ ἁγίου Πνεύματος ἡμᾶς διδάσκει· Τὸ Πνεῦμα γάρ, φησί,
the holy Spirit us teaches the Spirit for he-says
τὸ ἅγιον, ἢ τῶν καθ᾽ ἑαυτὸ ὑφεστηκότων ἐστίν, ἢ
the holy either of-the(-things) by itself subsisting is or
τῶν ἐν ἑτέρῳ θεωρουμένων· ὧν τὸ μὲν οὐσίαν
of-the(-things) in another contemplated of-which the(-one) indeed essence

καλοῦσιν οἱ περὶ ταῦτα δεινοί, τὸ δὲ συμβεβηκός.
call the(-ones) about these(-things) clever the(-other) and accident
Εἰ γοῦν συμβέβηκεν, ἐνέργεια τοῦτ' ἂν εἴη τοῦ Θεοῦ·
if then it-is-accidental (a)-working this — would-be — of-God
τί γὰρ ἕτερον; ἢ τίνος; Τοῦτο γάρ πως καὶ φεύγει
what for other or of-whom this for somehow also escapes
σύνθεσιν· τοῦτο λέγων φανερῶς, ὡς εἰ τῶν ἐν τῷ Θεῷ
composition this saying manifestly that if of-the(-things) in — God
θεωρουμένων ἐστί· διὸ καὶ οὐκ οὐσία, ἀλλὰ συμβεβηκός
contemplated it-is wherefore also not essence but accident
ἐστι, καὶ Πνεῦμα ὀνομάζεται, οὐδὲν ἕτερον εἶναι δυνατὸν εἰ
it-is and Spirit is-named nothing other to-be possible if
μὴ ἐνέργειαν Θεοῦ. Τοῦτο γὰρ ἐδήλωσεν εἰπών· Τί γὰρ
not working of-God this for he-showed having-said what for
ἕτερον; ἢ τίνος; προκατασκευάζων δέ, πῶς οὐδὲν ἕτερον, οὐ
other or of-whom preparing and how nothing other not
ποιότητα, ἢ ποσότητα, ἤ τι τῶν τοιούτων ἐνθεωρεῖσθαι
quality or quantity or anything of-the such to-be-contemplated-in
τῷ Θεῷ δυνατόν, ἀλλ' ἐνέργειαν μόνην, ἐπιφέρει· Τοῦτο γάρ
— God (is)-possible but working only he-adds this for
πως καὶ φεύγει σύνθεσιν. Πῶς δὲ ἡ ἐνέργεια ἐνθεωρουμένη
somehow also escapes composition how and the working contemplated-in
τῷ Θεῷ φεύγει τὴν σύνθεσιν; Ἐπειδὴ μόνος ἀπαθεστάτην
— God escapes the composition since alone most-impassible
ἔχει τὴν ἐνέργειαν, ἐνεργῶν μόνον, ἀλλ' οὐχὶ καὶ πάσχων
he-has the working working only but not also suffering
κατ' αὐτήν, οὐδὲ γινόμενος, οὐδὲ ἀλλοιούμενος.
according-to it nor becoming nor being-altered
129 Ὅτι δὲ καὶ ἄκτιστον οὖσαν οἶδε ταύτην τὴν ἐνέργειαν
that and also uncreated being knows this the working
ὁ Θεολόγος, ἀνωτέρω μικρὸν αὐτὸς ἔδειξε, πρὸς τὸ
the Theologian above (a)-little he showed as-against the

κτίσμα ταύτην ἀντιδιαστείλας. Τῶν καθ' ἡμᾶς γάρ,
creature it having-distinguished of-the according-to us for
φησί, σοφῶν, οἱ μὲν ἐνέργειαν τὸ Πνεῦμα ὑπέλαβον,
he-says wise the(-ones) indeed (a)-working the Spirit supposed
οἱ δὲ κτίσμα, οἱ δὲ Θεόν. Θεὸν μὲν οὖν
the(-ones) and (a)-creature the(-ones) and God God indeed then
ἐνταῦθα τὴν ὑπόστασιν αὐτὴν λέγει. Πρὸς δὲ τὸ κτίσμα
here the hypostasis itself he-means as-against and the creature
ἀντιδιῃρημένην δείξας τὴν ἐνέργειαν, μὴ εἶναι κτίσμα
contradistinguished having-shown the working not to-be (a)-creature
σαφῶς ὑπέδειξεν. Ἀλλὰ καὶ μικρὸν προϊών, κίνησιν Θεοῦ
clearly he-showed but also (a)-little proceeding movement of-God
ταύτην εἶπε τὴν ἐνέργειαν. Πῶς οὖν οὐκ ἄκτιστος ἡ
this he-called the working how then not uncreated (is)-the
τοῦ Θεοῦ κίνησις; περὶ ἧς καὶ Δαμασκηνὸς ὁ θεοφόρος,
— of-God movement about which also Damascene the God-bearer
ἐν νθ΄ κεφαλαίῳ γράφων, Ἐνέργεια μέν ἐστι, φησίν,
in (the)-59th chapter writing working indeed is he-says
ἡ δραστικὴ καὶ οὐσιώδης τῆς φύσεως κίνησις· ἐνεργητικὸν
the active and essential of-the nature movement (the)-active
δὲ ἡ φύσις, ἐξ ἧς ἡ ἐνέργεια πρόεισιν· ἐνέργημα
and (is)-the nature from which the working proceeds (the)-work
δὲ τὸ τῆς ἐνεργείας ἀποτέλεσμα· ἐνεργῶν δέ, ὁ
and (is)-the of-the working effect (the)-worker and the(-one)
κεχρημένος τῇ ἐνεργείᾳ, ἤτοι ἡ ὑπόστασις.
using the working that-is the hypostasis
Οἱ ἐναντίοι, ἐκ τοῦ τὸν Θεολόγον ἐνταῦθα φάναι, Εἰ δὲ 130
the opponents from the the Theologian here to-say if and
ἐνέργεια ἐνεργηθήσεται καὶ οὐκ ἐνεργήσει, καὶ ὁμοῦ
(a)-working it-will-be-worked and not will-work and together-with
τὸ ἐνεργηθῆναι παύσεται, κτιστὴν ἐντεῦθεν ὑπενόησαν καὶ
the to-be-worked will-cease created from-this suspected and

ἀπεφήναντο τὴν θείαν ταύτην ἐνέργειαν. Ἠγνόησαν γὰρ
declared the divine this working they-were-ignorant for
ὅτι τὸ ἐνεργεῖσθαι καὶ ἐπὶ τῶν ἀκτίστων λέγεται, ὡς
that the to-be-worked also of the uncreated(-things) is-said as
καὶ ὁ Θεολόγος οὗτος δείκνυσιν ἀλλαχοῦ γράφων· Εἰ δὲ
also the Theologian this(-one) shows elsewhere writing if and
ἐνεργείας ὄνομα ὁ Πατήρ, τοῦτο ἐνηργηκὸς ἂν εἴη τὸ
of-working (a)-name (is)-the Father this having-worked — would-be the
ὁμοούσιον. Φησὶ δὲ καὶ ὁ Δαμασκηνὸς ὁ θεοφόρος· Ἐν
consubstantial says and also the Damascene the God-bearer at
δεξιᾷ τοῦ Πατρὸς ὁ Χριστὸς ἐκάθισε, θεϊκῶς ἐνεργῶν
(the)-right of-the Father — Christ sat divinely working
τὴν τῶν ὅλων πρόνοιαν. Ἀλλ' οὐδὲ τό, κατέπαυσε,
the of-the whole providence but not-even the(-word) he-rested
τῷ ἀκτίστῳ τῆς ἐνεργείας προσίσταται. Κατὰ γὰρ
to-the uncreatedness of-the working is-opposed according-to for
τὸ δημιουργεῖν ἄρχεται ὁ Θεὸς καὶ παύεται· ὡς καὶ ὁ
the to-create begins — God and ceases as also —
Μωϋσῆς φησιν, ὅτι «Κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων
Moses says that rested — God from all
τῶν ἔργων ὧν ἤρξατο ποιῆσαι.» Τὸ μέντοι δημιουργεῖν
the works which he-began to-make the however to-create
τοῦτο καθ' ὃ ἄρχεται ὁ Θεὸς καὶ παύεται, φυσικὴ
this according-to which begins — God and ceases natural
καὶ ἄκτιστός ἐστιν ἐνέργεια Θεοῦ.
and uncreated is working of-God

131 Ὁ θεῖος αὖθις Δαμασκηνός, μετὰ τὸ εἰπεῖν ὅτι ἐνέργειά
the divine again Damascene after the to-say that working
ἐστιν ἡ δραστικὴ καὶ οὐσιώδης τῆς φύσεως κίνησις,
is the active and essential of-the nature movement
θέλων δεῖξαι, ὡς τὴν τοιαύτην ἐνέργειαν ὁ Θεολόγος εἶπεν
wishing to-show that the such working the Theologian said

ἐνεργεῖσθαί τε καὶ παύεσθαι, προσεπήνεγκεν· Ἰστέον,
to-be-worked both and to-cease added (it-is)-to-be-known
ὡς ἡ ἐνέργεια κίνησίς ἐστι, καὶ ἐνεργεῖται μᾶλλον ἢ
that the working movement is and is-worked rather than
ἐνεργεῖ, καθώς φησιν ὁ Θεολόγος Γρηγόριος, ἐν τῷ
works as says the Theologian Gregory in the
περὶ τοῦ ἁγίου Πνεύματος λόγῳ. Εἰ δὲ ἐνέργειά ἐστιν,
about the holy Spirit treatise if and working it-is
ἐνεργηθήσεται δηλονότι καὶ οὐκ ἐνεργήσει, καὶ ὁμοῦ
it-will-be-worked clearly and not will-work and together-with
τὸ ἐνεργηθῆναι παύσεται. Φανερὸν οὖν ὡς οἱ τὰ
the to-be-worked will-cease (it-is)-manifest then that the(-ones) the(-things)
τῶν ἐναντίων φρονοῦντες, κτιστὴν εἶναι δογματίζοντες
of-the opponents thinking created to-be dogmatizing
ἣν ἐνταῦθα Γρηγόριος ὁ Θεολόγος εἴρηκεν ἐνέργειαν,
which here Gregory the Theologian has-called working
αὐτὴν τὴν φυσικὴν καὶ οὐσιώδη τοῦ Θεοῦ ἐνέργειαν,
the-very the natural and essential — of-God working
φρενοβλαβῶς εἰς κτίσμα κατασπῶσιν· ἣν ὁ ἱερὸς
insanely into (a)-creature drag-down which the sacred
Δαμασκηνός, μὴ ἐνεργουμένην μόνον, ἀλλὰ καὶ ἐνεργοῦσαν
Damascene not worked only but also working
ὑποφήνας, ἄκτιστον ὑπάρχουσαν παρέστησεν, ὅπως γε
having-shown uncreated being presented how indeed
μὴν οὐ διαφωνεῖ κατὰ τοῦτο πρὸς τὸν τῆς θεολογίας
surely not be-disagrees in this with the of-the theology
ἐπώνυμον, ἐν τοῖς διὰ πλάτους μοι λόγοις ἀποδέδεικται.
namesake in the at length by-me treatises has-been-demonstrated
Τὰ ὑποστατικὰ ἰδιώματα, ἀναφορικῶς κἀν τῷ Θεῷ 132
the hypostatic properties relatively also-in — God
προσάλληλα λέγεται. Καὶ διαφέρουσιν ἀλλήλων αἱ
in-relation-to-one-another are-said and differ from-one-another the

ὑποστάσεις, ἀλλ᾽ οὐ κατ᾽ οὐσίαν. Ἔστι δ᾽ ὡς καὶ
hypostases but not in essence there-is(-a-way) and as also
πρὸς τὴν κτίσιν ἀναφορικῶς ὁ Θεὸς λέγεται. Οὐ γὰρ
in-relation-to the creation relatively — God is-spoken-of not for
ὥσπερ λέγεται προαιώνιος, προάναρχος, μέγας, ἀγαθός,
as is-said pre-eternal before-the-beginning great good
Θεὸς ἡ παναγία Τριάς, οὕτω δύναται λέγεσθαι καὶ Πατήρ·
God the all-holy Trinity thus can to-be-called also Father
οὐ γὰρ ἑκάστη τῶν ὑποστάσεων, ἀλλὰ μία τῶν τριῶν
not for each of-the hypostases but one of-the three
ὑπάρχει ὁ Πατήρ· ἐξ οὗ καὶ εἰς ὃν ἀνάγεται τὰ
is the Father from whom also to whom are-referred the(-ones)
ἑξῆς. Πρὸς μέντοι τὴν κτίσιν, διὰ τὸ ἓν ἔργον
following in-relation-to however the creation because-of the one work
εἶναι τῶν τριῶν, ἐκ μηδαμῇ μηδαμῶς ὄντος προαχθέν,
to-be of-the three from in-no-way in-no-manner being brought-forth
καὶ διὰ τῶν υἱῶν ὑπὸ τῆς χορηγουμένης κοινῆς τῶν
and through the sons by the supplied common of-the
τριῶν χάριτος εἰς ποίησιν, Πατὴρ λέγοιτ᾽ ἂν καὶ ἡ
three grace for (the)-making Father might-be-called — also the
Τριάς. Τό, «Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν·»
Trinity the(-saying) (the)-Lord — God your Lord one is
καὶ τό, «Πατὴρ ἡμῶν εἷς ὁ ἐν τοῖς οὐρανοῖς,»
and the(-saying) Father our one the(-one) in the heavens
ἕνα Κύριον καὶ Θεὸν ἡμῶν τὴν ἁγίαν Τριάδα φησί, καὶ
one Lord and God our the holy Trinity he-says and
δὴ καὶ Πατέρα ἡμῶν, διὰ τῆς αὐτοῦ χάριτος ἡμᾶς
indeed also Father our through the his grace us
ἀναγεννῶντα, λέγεται ἀναφορικῶς, καθάπερ ἔφημεν· καὶ
regenerating is-called relatively as we-said also
ὁ Πατὴρ μόνος, πρὸς τὸν ὁμοούσιον Υἱὸν Πατήρ.
the Father alone in-relation-to the consubstantial Son (is)-Father

Ὁ αὐτὸς δὲ λέγεται καὶ ἀρχὴ πρὸς τὸν Υἱόν τε
the same and is-called also beginning in-relation-to the Son both
καὶ τὸ Πνεῦμα. Λέγεται δὲ καὶ πρὸς τὴν κτίσιν ὁ
and the Spirit is-called and also in-relation-to the creation the
Πατὴρ ἀρχή, ἀλλ᾽ ὡς κτίστης καὶ Δεσπότης πάντων τῶν
Father beginning but as creator and Master of-all the
κτισμάτων. Ὅταν οὖν ταῦτα πρὸς τὴν κτίσιν ὁ
creatures when then these(-things) in-relation-to the creation the
Πατὴρ λέγηται, ἀρχή ἐστι καὶ ὁ Υἱός, καὶ οὐκ εἰσὶ
Father be-called beginning is also the Son and not there-are
δύο ἀρχαί, ἀλλὰ μία· καὶ γὰρ ἀναφορικῶς λέγεται καὶ ὁ
two beginnings but one and for relatively is-called also the
Υἱὸς ἀρχή, ὡς πρὸς τὴν κτίσιν, ὥσπερ καὶ Δεσπότης
Son beginning as in-relation-to the creation as also Master
πρὸς τὰ δοῦλα. Οὐκοῦν ὁ Πατὴρ καὶ ὁ Υἱὸς μετὰ τοῦ
in-relation-to the slaves therefore the Father and the Son with the
Πνεύματος, ὡς πρὸς τὴν κτίσιν μία ἀρχή ἐστι καὶ εἷς
Spirit as in-relation-to the creation one beginning is and one
Δεσπότης, καὶ εἷς κτίστης, καὶ εἷς Θεός τε καὶ Πατήρ,
Master and one creator and one God both and Father
καὶ προμηθεύς, καὶ ἔφορος, καὶ τἆλλα πάντα. Καὶ τῶν
and provider and overseer and the-rest all and of-the
τοιούτων ἕκαστον οὐκ ἔστιν οὐσία· οὐ γὰρ ἂν πρὸς
such(-things) each not is essence not for — in-relation-to
ἕτερον ἀναφορικῶς ἐλέγετο, εἴπερ ἦν αὐτοῦ οὐσία.
another relatively it-would-be-said if-indeed it-were his essence
Θέσεις, καὶ ἕξεις, καὶ τόποι, καὶ χρόνοι, καὶ εἴ τι 133
positions and habits and places and times and if anything
τοιοῦτον, οὐ κυρίως ἐπὶ Θεοῦ λέγονται, ἀλλὰ μεταφορικῶς.
such not properly of God are-said but metaphorically
Τὸ δὲ ποιεῖν καὶ ἐνεργεῖν, ἐπὶ μόνου τοῦ Θεοῦ ἀληθέστατα
the but to-make and to-work of alone — God most-truly

ἂν λέγοιτο· μόνος γὰρ ὁ Θεὸς ποιεῖ· αὐτὸς δὲ οὐ γίνεται
— would-be-said alone for — God makes he but not comes-to-be
οὐδὲ πάσχει, ὅσον εἰς τὴν αὐτοῦ οὐσίαν ἀνήκει· καὶ
nor suffers as-far-as to the his essence pertains and
μόνος διὰ πάντων ἕκαστον ποιεῖ· καὶ μόνος ἐκ μηδαμῇ
alone through all each he-makes and alone from in-no-way
μηδαμῶς ὄντων ποιεῖ, παντοδύναμον ἔχων τὴν ἐνέργειαν,
in-no-manner being(-things) he-makes almighty having the working
καθ' ἣν καὶ πρὸς τὴν κτίσιν ἀναφορικῶς λέγεται,
according-to which also in-relation-to the creation relatively he-is-called
καὶ τὸ δυνάμει ἔχει· δύναται γὰρ αὐτὸς εἰς τὴν ἑαυτοῦ φύσιν
and the in-potency he-has can for he into the his-own nature
τι παθεῖν οὐδὲν οὐδαμῇ. Δύναται δὲ προσθεῖναι τοῖς
anything to-suffer nothing in-no-way he-can but to-add to-the
ποιήμασιν εἰ βούλοιτο· τὸ μὲν γὰρ δυνάμει παθεῖν ἔχειν,
things-made if he-should-wish the indeed for in-potency to-suffer to-have
καὶ προσλαβεῖν τι κατ' οὐσίαν, ἀσθενείας ἐστί· τὸ δὲ
and to-take-on anything in essence of-weakness is the but
δυνάμει ποιεῖν ἔχειν, καὶ προστιθέναι τοῖς ποιήμασιν ὁπότε
in-potency to-make to-have and to-add to-the things-made whenever
βούλοιτο, θεοπρεπῶς τε καὶ παντοκρατορικῆς ἰσχύος.
he-should-wish of-God-befitting both and almighty strength

134 Πάντων τῶν ὄντων εἰς δέκα συγκεφαλαιουμένων, οὐσίαν
all the beings into ten summed-up essence
λέγω, ποσόν, ποιόν, πρός τι, ποῦ, ποτέ, ποιεῖν,
I-mean quantity quality in-relation-to something where when acting
πάσχειν, ἔχειν, κεῖσθαι, καὶ τῶν ἐφεξῆς τῇ οὐσίᾳ
suffering having lying and of-the(-things) next to-the essence
ἐνθεωρουμένων, ὁ Θεὸς οὐσία ὑπερούσιός ἐστιν· ᾗ
contemplated-in — God (an)-essence superessential is in-which
ἐνθεωρεῖται μόνα, τὸ πρός τί τε καὶ τὸ ποιεῖν,
are-contemplated only the in-relation-to something both and the acting

οὐδεμίαν ἐμποιοῦντα ταύτῃ σύνθεσιν ἢ ἀλλοίωσιν. Ποιεῖ
no producing in-it composition or alteration makes
γὰρ τὰ πάντα ὁ Θεός, μηδὲν αὐτὸς πάσχων κατ᾽ οὐσίαν.
for the all(-things) — God nothing he suffering in essence
Ἔστι δὲ καὶ κτίστης πρὸς τὴν κτίσιν, καὶ ἀρχὴ καὶ
is and also creator in-relation-to the creation and beginning and
Δεσπότης αὐτῆς ἠργμένης, καὶ αὐτῆς δουλευούσης. Ἀλλὰ
Master of-it begun and of-it serving but
καὶ Πατὴρ ἡμῶν ἐστιν, ἀναγεννῶν ἡμᾶς τῇ χάριτι· ἔστι
also Father our he-is regenerating us by-the grace is
δὲ καὶ Πατὴρ πρὸς τὸν μηδαμῶς ἠργμένον χρονικῶς
and also Father in-relation-to the in-no-way begun temporally
Υἱόν, καὶ Υἱὸς πρὸς τὸν Πατέρα· καὶ πρόβλημα
Son and Son in-relation-to the Father and emanation
Πατρὸς τὸ Πνεῦμα, συναΐδιον Πατρί τε καὶ Υἱῷ, μιᾶς
of-(the)-Father the Spirit co-eternal with-Father both and Son of-one
ὄντα καὶ τῆς αὐτῆς οὐσίας. Οἱ δὲ λέγοντες οὐσίαν
being and the same essence the(-ones) but saying essence
εἶναι μόνον τὸν Θεόν, μηδὲν ἔχουσαν ἐνθεωρούμενον, οὐδὲ
to-be only — God nothing having contemplated-in(-it) not-even
τὸ ποιεῖν καὶ ἐνεργεῖν, οὐδὲ τὸ πρός τι ἔχειν τὸν
the to-make and to-work nor the in-relation-to something to-have —
Θεὸν κατασκευάζουσιν. Εἰ δὲ μὴ ταῦτα ἔχει ὃν αὐτοὶ
God make-out if but not these(-things) has whom they
νομίζουσι Θεόν, οὐδὲ ἐνέργειά ἐστιν, οὐδὲ δημιουργός, οὐδὲ
think God neither working is-he nor creator nor
ἐνέργειαν ἔχει· ἀλλ᾽ οὐδὲ ἀρχὴ καὶ κτίστης καὶ Δεσπότης·
working has-he but not-even beginning and creator and Master
οὐδὲ Πατὴρ ἡμῶν ἐστι κατὰ χάριν. Πῶς γὰρ ἂν
nor Father our is-he according-to grace how for —
εἴη ταῦτα, μὴ ἐνθεωρούμενα τῇ καθ᾽ ἑαυτὸν οὐσίᾳ,
would-be-be these not contemplated-in the according-to himself essence

ἔχων τὸ πρός τί τε καὶ ποιεῖν; συναναιρεῖται δὲ
having the in-relation-to something both and acting is-abolished-with and
καὶ τὸ τρισυπόστατον τῆς θεότητος, εἰ μὴ τῇ τοῦ Θεοῦ
also the three-hypostatic of-the godhead if not in-the — of-God
οὐσίᾳ ἐνθεωρούμενόν ἐστι τὸ πρός τι. Ὁ δὲ μὴ
essence contemplated is the in-relation-to something the(-one) but not
τρισυπόστατος, οὐδὲ τοῦ παντὸς Δεσπότης οὐδὲ Θεός. Ἄθεοι
three-hypostatic nor of-the all Master nor God godless
τοιγαροῦν εἰσιν οἱ οὕτω κατὰ τοὺς ἐναντίους φρονοῦντες.
therefore are the(-ones) thus like the opponents thinking
135 Ἔχει ὁ Θεός, καὶ ὃ μή ἐστιν οὐσία. Οὐ μὴν ὅτι
has — God also what not is essence not indeed that
τοῦτο οὐκ ἔστιν οὐσία, συμβεβηκός ἐστι· τὸ γὰρ μὴ
this not is essence accident it-is the(-thing) for not
μόνον οὐκ ἀπογινόμενον, ἀλλ᾽ οὐδ᾽ αὔξησιν ἢ μείωσιν
only not ceasing-to-be but not-even increase or decrease
ἠντιναοῦν ἐπιδεχόμενον, ἢ ἐμποιοῦν, οὐκ ἔσθ᾽ ὅπως
whatever admitting or producing not it-is(-possible) that
ἂν συναριθμοῖτο τοῖς συμβεβηκόσιν. Ἀλλ᾽ οὐχ ὅτι μήτε
— it-should-be-counted with-the accidents but not that neither
συμβεβηκός ἐστι τοῦτο, μήτε οὐσία, τῶν μηδαμῇ
accident is this nor essence of-the(-things) in-no-way
μηδαμῶς ὄντων ἐστίν· ἀλλ᾽ ἔστι καὶ ὡς ἀληθῶς ἐστιν.
in-no-manner being is-it but it-is and as truly it-is
Οὐ συμβεβηκὸς δέ ἐστιν, ἐπειδὴ παντάπασιν ἀμετάβλητόν
not accident and it-is since altogether unchangeable
ἐστιν. Ἀλλ᾽ οὐδὲ οὐσία· καὶ γὰρ οὐ τῶν καθ᾽ ἑαυτὸ
it-is but not-even essence and for not of-the(-things) by itself
ὑφεστηκότων ἐστίν. Διὸ καὶ συμβεβηκός πώς ἐστι παρ᾽
subsisting it-is wherefore also accident somehow it-is by
ὧν θεολόγων τοῦτο λέγεται· τοῦτο δεικνύντων μόνον,
whichever theologians this is-said this showing only

ὅτι οὐκ ἔστιν οὐσία. Τί γάρ, ἐπεὶ καὶ τῶν ὑποστατικῶν
that not it-is essence what for since also of-the hypostatic(-properties)
ἕκαστον, καὶ τῶν ὑποστάσεων ἑκάστη, ὅτι μήτε οὐσία ἐστί,
each and of-the hypostases each that neither essence is
μήτε συμβεβηκὸς ἐπὶ Θεοῦ, διὰ τοῦτο τῶν μηδαμῶς
nor accident in God because-of this of-the in-no-way
ὄντων ἐστίν; Ἄπαγε. Τὸν αὐτὸν οὖν τρόπον καὶ ἡ θεία
being(-things) is-it away-with(-it) the same then way also the divine
τοῦ Θεοῦ ἐνέργεια, οὔτε οὐσία, οὔτε συμβεβηκός ἐστι· καὶ
— of-God working neither essence nor accident is and
τῶν μηδαμῶς ὄντων οὐκ ἔστι. Καὶ ἵν' εἴπω τὸ πᾶσι
of-the in-no-way being(-things) not is and that I-may-say the(-thing) to-all
τοῖς θεολόγοις συνδοκοῦν· Εἰ τὸ βούλεσθαι ποιεῖ ὁ Θεός,
the theologians agreed if by-the to-will makes — God
ἀλλ' οὐχ ἁπλῶς τῷ πεφυκέναι, ἄλλο ἄρα τὸ βούλεσθαι,
but not simply by-the to-be-of-the-nature other then (is)-the to-will
καὶ ἕτερον τὸ πεφυκέναι. Εἰ δὲ τοῦτο καὶ ἡ θεία βουλὴ
and another the to-be-of-the-nature if and this also the divine will
τῆς φύσεως ἕτερόν ἐστιν ἐπὶ Θεοῦ, καὶ οὐκ ἔστιν οὐσία,
from-the nature other is in God and not is essence
διὰ τοῦτο οὐδαμῶς ἐστιν; Οὐμενοῦν· ἀλλ' ἔστι, καὶ τοῦ
because-of this in-no-way is-it no-indeed but it-is and —
Θεοῦ τοῦ μὴ οὐσίαν μόνον, ἀλλὰ καὶ βουλὴν ἔχοντος
of-God the(-one) not essence only but also will having
καθ' ἣν ποιεῖ, κἂν συμβεβηκός πως ταύτην τις
according-to which he-makes even-if accident somehow it anyone
ἐθέλῃ καλεῖν ὡς μὴ οὐσίαν οὖσαν, κἂν μὴ συμβεβηκός, ὡς
wish to-call as not essence being even-if not accident as
μηδεμίαν ἐμποιοῦσαν σύνθεσιν, ἢ ἀλλοίωσιν. Ἔχει ἄρα ὁ
no producing composition or alteration has then —

Θεὸς καὶ ὃ οὐσία, καὶ ὃ μὴ οὐσία, κἂν εἰ μὴ συμβεβηκὸς
God both what (is)-essence and what not (is)-essence even if not accident
καλοῖτο, τὴν θείαν δηλονότι βουλὴν καὶ ἐνέργειαν.
it-be-called the divine clearly will and working
136 Ἡ οὐσία εἰ μὴ ἐνέργειαν ἔχει διαφέρουσαν ἑαυτῆς,
the essence if not working it-has differing from-itself
ἀνυπόστατος ἔσται τελέως, καὶ διανοίας μόνη θεώρημα.
non-hypostatic will-be wholly and of-thought alone (an)-object
Ὁ γὰρ καθόλου λεγόμενος ἄνθρωπος, οὐ διανοεῖται, οὐ
the for universally said man not thinks not
δοξάζει, οὐχ ὁρᾷ, οὐκ ὀσφραίνεται, οὐ λαλεῖ, οὐκ ἀκούει,
opines not sees not smells not speaks not hears
οὐ περιπατεῖ, οὐκ ἀναπνεῖ, οὐκ ἐσθίει, καὶ ἁπλῶς εἰπεῖν,
not walks not breathes not eats and simply to-say
οὐκ ἔχει ἐνέργειαν διαφέρουσαν τῆς οὐσίας, καὶ δεικνῦσαν
not has working differing from-the essence and showing
ὅτι ἐν ὑποστάσει ἐστί· διὸ καὶ τελέως ἀνυπόστατός
that in hypostasis it-is wherefore also wholly non-hypostatic
ἐστιν ὁ καθόλου ἄνθρωπος. Ὁ δὲ ἐνέργειαν ἔμφυτον ἔχων
is the universal man the but working innate having
διαφέρουσαν τῆς οὐσίας, ἄνθρωπος, μίαν, ἢ πλείους,
differing from-the essence man one or more
ἢ πάσας οἵασπερ ἔφημεν, ἐξ αὐτῶν γνωρίζεται ὅτι ἐν
or all such-as we-said from them is-known that in
ὑποστάσει ἐστί, καὶ οὐκ ἀνυπόστατός ἐστιν ὁ ἄνθρωπος.
hypostasis he-is and not non-hypostatic is the man
Ἐπεὶ δὲ αἱ τοιαῦται ἐνέργειαι, οὐκ ἐφ' ἑνός, ἢ δύο,
since and the such workings not in one or two
ἢ τριῶν, ἀλλ' ἐπὶ πλειόνων τῷ ἀριθμῷ θεωροῦνται,
or three but in more in-the number are-contemplated
δείκνυται εἶναι τὸν ἄνθρωπον ἐν ὑποστάσεσι μυρίαις.
it-is-shown to-be the man in hypostases countless

Ὁ Θεὸς κατὰ τὴν διὰ τῆς αὐτοῦ χάριτος ἡμετέραν, 137
— *God according-to the through the his grace our*
τῆς αὐτοῦ λέγω Ἐκκλησίας εὐσέβειαν, ἐνέργειαν ἔμφυτον
of-the his I-mean Church piety working innate
ἔχων δεικτικὴν ἑαυτοῦ, καὶ κατὰ τοῦτο διαφέρουσαν τῆς
having indicative of-himself and in this differing from-the
οὐσίας αὐτοῦ. Καὶ γὰρ προγινώσκει τε καὶ προνοεῖται
essence his and for he-foreknows both and provides
τῶν ὑποδεεστέρων, καὶ δημιουργεῖ ταῦτα, καὶ συντηρεῖ,
for-the lesser(-things) and creates them and preserves
καὶ δεσπόζει, καὶ μετασκευάζει κατ᾽ οἰκείαν βούλησιν
and masters and transforms according-to own will
ὡς οἶδεν αὐτός, ἐν ὑποστάσει δείκνυται ὤν, ἀλλ᾽ οὐκ οὐσία
as knows he in hypostasis is-shown being but not essence
μόνον ἀνυπόστατος. Ἐπεὶ δὲ αἱ τοιαῦται πᾶσαι ἐνέργειαι,
only non-hypostatic since and the such all workings
οὐκ ἐφ᾽ ἑνός, ἀλλ᾽ ἐν τρισὶν ὑποστάσεσιν ὑπάρχων ὁ
not in one but in three hypostases existing —
Θεὸς ἡμῖν γνωρίζεται. Οἱ δὲ ἀντικείμενοι, λέγοντες μὴ
God to-us is-made-known the but opponents saying not
ἔχειν τὸν Θεὸν ἐνέργειαν ἔμφυτον δεικτικὴν ἑαυτοῦ, καὶ
to-have — God working innate indicative of-himself and
κατὰ τοῦτο διαφέρουσαν τῆς οὐσίας αὐτοῦ, οὐκ ἐν
in this differing from-the essence his not in
ὑποστάσει λέγουσιν εἶναι τὸν Θεόν, καὶ ἀνυπόστατον
hypostasis say to-be — God and non-hypostatic
τελέως ποιοῦσι τὸν τρισυπόστατον Κύριον· τοσοῦτον
wholly make the three-hypostatic Lord so-much
ὑπερβάλλοντες κακοδοξίᾳ τὸν Λίβυν Σαβέλλιον, ὅσον
exceeding in-heresy the Libyan Sabellius as-much-as
πλέον εἰς κακίαν ἔχει τῆς δυσσεβείας ἡ ἀσέβεια.
more toward vice has than-the irreverence the impiety

138 Τῶν τριῶν θείων ὑποστάσεων, οὐ μία ὡς ὁμοία ἡ
of-the three divine hypostases not one as similar (is)-the
ἐνέργεια, καθάπερ ἐφ' ἡμῶν, ἀλλὰ μία ὄντως καὶ τῷ
working as among us but one truly also in-the
ἀριθμῷ. Ὅπερ οἱ τὰ τῶν ἐναντίων φρονοῦντες
number which the(-ones) the(-things) of-the opponents thinking
λέγειν οὐ δύνανται· ἐπεὶ μὴ κοινὴν εἶναι τῶν τριῶν ἄκτιστον
to-say not are-able since not common to-be of-the three uncreated
ἐνέργειάν φασιν, ἀλλὰ καὶ ἀλλήλων τὰς ὑποστάσεις
working they-say but also of-one-another the hypostases
ἐνεργείας εἶναι λέγουσιν, ὡς μὴ κοινῆς οὔσης κατ' αὐτοὺς
workings to-be they-say as not common being according-to them
θείας ἐνεργείας· ὥστε οὐδ' οὕτως ἔχουσι λέγειν μίαν τῶν
divine working so-that not-even thus are-they-able to-say one of-the
τριῶν ἐνέργειαν· ἀλλὰ καὶ ἄλλοτε ἄλλην οὕτως ἀναιροῦντες,
three working but also at-one-time another thus abolishing
ἀνυπόστατον κἀντεῦθεν ποιοῦσι τὸν τρισυπόστατον Θεόν.
non-hypostatic and-from-this they-make the three-hypostatic God
139 Οἱ τὴν κακόδοξον πλάνην κατὰ ψυχὴν νενοσηκότες,
the(-ones) the heretical error in soul having-been-sick
κτιστὴν λέγοντες τὴν διαφέρουσαν τῆς τοῦ Θεοῦ οὐσίας
created saying the differing from-the — of-God essence
ἐνέργειαν, κτιστῶς ἔχειν καὶ τὸ δημιουργεῖν τὸν Θεὸν
working createdly to-have also the to-create — God
δοξάζουσι, ταυτὸ δ' εἰπεῖν τὴν δημιουργικὴν δύναμιν αὐτοῦ·
they-opine the-same and to-say the creative power his
οὐ γὰρ ἔστιν ἐνεργεῖν καὶ δημιουργεῖν χωρὶς ἐνεργείας·
not for it-is(-possible) to-work and to-create without working
ὥσπερ οὐδὲ ὑπάρχειν χωρὶς ὑπάρξεως. Ὡς οὖν οὐκ
as not-even to-exist without existence as then not
ἔνι τὸν λέγοντα τὴν τοῦ Θεοῦ ὕπαρξιν κτιστήν,
it-is(-possible) the(-one) saying the — of-God existence created

ἀκτίστως ἔχειν αὐτὸν τὸ εἶναι οἴεσθαι, οὕτως οὐκ ἔστι
uncreatedly to-have him the being to-think thus not it-is(-possible)
τὸν λέγοντα τὴν τοῦ Θεοῦ ἐνέργειαν κτιστήν, τὸ ἐνεργεῖν
the(-one) saying the — of-God working created the to-work
τε καὶ δημιουργεῖν αὐτὸν ἀκτίστως ἔχειν οἴεσθαι.
both and to-create him uncreatedly to-have to-think
Κτίσματα τοῦ Θεοῦ καὶ εἰσὶ καὶ λέγονται παρὰ τῶν 140
creatures — of-God both are and are-called by the(-ones)
εὐσεβῶς φρονούντων, οὐχ ἡ τοῦ Θεοῦ ἐνέργεια κατὰ
piously thinking not the — of-God working according-to
τοὺς τῶν ἐναντίων λήρους, ἄπαγε τῆς ἀσεβείας! ἀλλὰ
the of-the opponents nonsense away-with the impiety but
τῆς θείας ἐνεργείας ἀποτελέσματά ἐστι τὰ κτίσματα. Εἰ
of-the divine working effects are the creatures if
γὰρ τὰ κτίσματα ἡ ἐνέργεια, ἢ ἄκτιστα ταῦτά
for the creatures (are)-the working either uncreated these
ἐστιν (ὦ τῆς παρανοίας!), ὡς καὶ πρὶν κτισθῆναι ὄντα,
are O the madness as also before to-be-created being
ἢ πρὸ τῶν κτισμάτων (ὦ τῆς δυσσεβείας!) οὐκ εἶχεν
or before the creatures O the impiety not had
ὁ Θεὸς ἐνέργειαν. Ἀλλὰ μὴν ἐξ ἀϊδίου ἐνεργής ἐστι
— God working but indeed from eternity active he-is
καὶ παντοδύναμος, οὔκουν ἡ τοῦ Θεοῦ ἐνέργεια, ἀλλὰ
and almighty therefore-not the — of-God working but
τὰ ἐνεργηθέντα, καὶ ἀποτελεσθέντα, ὅπως ἂν καὶ
the(-things) worked and accomplished however — also
ὀνομάζοιντο, ἔστι τὰ κτίσματα. Ἡ δὲ τοῦ Θεοῦ ἐνέργεια
they-be-named are the creatures the but — of-God working
ἄκτιστός ἐστι καὶ συναΐδιος Θεῷ, κατὰ τοὺς θεολόγους.
uncreated is and co-eternal with-God according-to the theologians

141 Οὐκ ἐκ τῆς οὐσίας ἡ ἐνέργεια, ἀλλ᾽ ἐκ τῆς ἐνεργείας
not from the essence the working but from the working
ἡ οὐσία γνωρίζεται ὅτι ἔστι, ἀλλ᾽ οὐ τί ἐστι. Διὸ
the essence is-known that it-is but not what it-is wherefore
καὶ ὁ Θεός, οὐκ ἐκ τῆς οὐσίας, ἀλλ᾽ ἐκ τῆς προνοίας
also — God not from the essence but from the providence
αὐτοῦ γινώσκεται, κατὰ τοὺς θεολόγους, ὅτι ἔστι.
his is-known according-to the theologians that he-is
Διαφέρει δὲ καὶ κατὰ τοῦτο τῆς οὐσίας ἡ ἐνέργεια, ὅτι
differs and also in this from-the essence the working that
τὸ μὲν γνωρίζον ἐστὶν ἡ ἐνέργεια· τὸ δὲ δι᾽
the(-one) indeed making-known is the working the(-other) and through
αὐτῆς γνωριζόμενον ὅτι ἔστιν, ἡ οὐσία ἐστίν. Οἱ δὲ τῆς
it made-known that it-is the essence is the but of-the
κακοδόξου δυσσεβείας συνήγοροι σπεύδοντες πείθειν μηδὲν
heretical impiety advocates hastening to-persuade in-nothing
διαφέρειν τῆς θείας οὐσίας τὴν θείαν ἐνέργειαν, τοῦτο
to-differ from-the divine essence the divine working this
σπεύδουσιν ἡμᾶς καταπεῖσαι τὸ γνωριστικὸν ἀναιροῦντες,
hasten us to-persuade the making-known abolishing
μὴ γινώσκειν ὅτι ἔστιν ὁ Θεός· ὡς μηδὲ ἐκεῖνοι πάντως
not to-know that is — God as not-even those by-all-means
γινώσκοντες. Ὁ δὲ μὴ τοῦτο γινώσκων, ἀθεώτατός
knowing the(-one) but not this knowing most-godless
τε καὶ ἀφρονέστατος πάντων ἂν εἴη.
both and most-senseless of-all — would-be

142 Ὅταν δὲ λέγωσιν οὗτοι ὡς ἔχει μὲν ὁ Θεὸς ἐνέργειαν,
when and say these that has indeed — God working
ἀλλὰ τῆς οὐσίας μηδαμῶς κατὰ μηδὲν διαφέρουσαν,
but from-the essence in-no-way in nothing differing
συσκιάζειν πειρῶνται καὶ οὕτω τὴν οἰκείαν δυσσέβειαν, καὶ
to-overshadow they-try and thus the own impiety and

σοφιστικῶς τοὺς ἀκούοντας παρακρούεσθαι καὶ ἀπατᾷν.
sophistically the hearers to-mislead and to-deceive
Οὕτω γὰρ καὶ ὁ Λίβυς ἐκεῖνος Σαβέλλιος ἔλεγε καὶ Υἱὸν
thus for also the Libyan that Sabellius said also (a)-Son
ἔχειν τὸν Πατέρα καὶ Θεόν, μηδὲν αὐτοῦ διαφέροντα. Ὡς
to-have the Father and God in-nothing from-him differing as
οὖν ἐκεῖνος ἠλέγχετο Πατέρα λέγων Υἱοῦ χωρίς, τὴν
then that(-one) was-refuted Father saying of-(the)-Son without the
καθ᾽ ὑπόστασιν αὐτῶν διαφορὰν ἀρνούμενος· οὕτως
according-to hypostasis their difference denying thus
οὗτοι νῦν, κατ᾽ οὐδὲν διαφέρειν λέγοντες τῆς θείας
these now in nothing to-differ saying from-the divine
οὐσίας τὴν θείαν ἐνέργειαν, οὐκ ἔχειν ὅλως τὸν Θεὸν
essence the divine working not to-have at-all — God
ἐνέργειαν ἀπελέγχονται φρονοῦντες. Εἰ γὰρ μηδὲν ταῦτα
working are-refuted thinking if for in-nothing these(-things)
διενήνοχεν, οὐδὲ ποιεῖν καὶ ἐνεργεῖν ἔχει ὁ Θεός. Οὐ γὰρ
have-differed nor to-make and to-work has — God not for
ἔστιν ἐνεργεῖν χωρὶς ἐνεργείας, κατὰ τοὺς θεολόγους·
it-is(-possible) to-work without working according-to the theologians
ὥσπερ, κατ᾽ αὐτούς, αὖθις οὐδὲ ὑπάρχειν χωρὶς
as according-to them again not-even to-exist without
ὑπάρξεως. Ὅτι δὲ ἡ θεία ἐνέργεια τῆς θείας οὐσίας
existence that and the divine working from-the divine essence
διαφέρει, δῆλον ἂν εἴη κἀντεῦθεν τοῖς εὖ φρονοῦσιν·
differs clear — would-be also-from-this to-the(-ones) well thinking
ἡ δὲ ἐνέργεια ἕτερον ἐνεργεῖ, ὅπερ ὁ ἐνεργῶν οὐκ ἔστιν.
the and working another works which the (one)-working not is
Ἐνεργεῖ γὰρ καὶ ποιεῖ ὁ Θεὸς τὰ κτίσματα, αὐτὸς δὲ
works for and makes — God the creatures he and
ἄκτιστός ἐστι. Καὶ τὸ πρός τι δέ, πρὸς ἕτερον
uncreated is also the in-relation-to something and in-relation-to another

ἀεὶ λέγεται. Υἱὸς γὰρ λέγεται πρὸς τὸν Πατέρα. Πατὴρ
always is-said Son for is-said in-relation-to the Father Father
δὲ τοῦ Πατρός ἐστιν Υἱὸς οὐδέποτε. Ὡς οὖν τὸ πρός
and of-the Father is Son never as then the in-relation-to
τι τῶν ἀδυνάτων μηδὲν διαφέρειν τῆς οὐσίας,
something (is-of)-the impossible(-things) in-nothing to-differ from-the essence
μηδὲ ἐνθεωρεῖσθαι τῇ οὐσίᾳ, ἀλλ᾽ οὐσίαν εἶναι, οὕτως
nor to-be-contemplated-in the essence but essence to-be thus
οὐδὲ τὴν ἐνέργειαν ὅλως ἐστὶ δυνατὸν μὴ διαφέρειν τῆς
not-even the working at-all is (it)-possible not to-differ from-the
οὐσίας, ἀλλ᾽ οὐσίαν εἶναι, κἂν οἱ ἐναντίοι ἀπαρέσκωνται.
essence but essence to-be even-if the opponents be-displeased
143 Ὁ μέγας Βασίλειος ἐν τοῖς συλλογιστικοῖς αὐτοῦ κεφαλαίοις
the great Basil in the syllogistic his chapters
περὶ Θεοῦ τὸν λόγον ποιούμενος, φησίν, ὡς ἡ ἐνέργεια
about God the discourse making says that the working
οὔτε ὁ ἐνεργῶν ἐστιν οὔτε τὸ ἐνεργηθέν· οὐκ ἄρα
neither the(-one) working is nor the(-thing) worked not then
τῆς οὐσίας ἀδιάφορός ἐστιν ἡ ἐνέργεια. Ὁ δὲ θεῖος
from-the essence undifferentiated is the working the and divine
Κύριλλος, περὶ Θεοῦ καὶ αὐτὸς τὸν λόγον ποιούμενος, Τὸ
Cyril about God also himself the discourse making the
μὲν ποιεῖν ἐνεργείας ἐστί, θεολογεῖ· φύσεως δὲ τὸ γεννᾷν·
indeed to-make of-working is theologizes of-nature and the to-beget
φύσις δὲ καὶ ἐνέργεια οὐ ταυτόν. Δαμασκηνὸς ὁ
nature but and working (are)-not the-same Damascene the
θεοφόρος, Ἔργον μὲν θείας θελήσεως, ἡ κτίσις. Καὶ
God-bearer (a)-work indeed of-divine will (is)-the creation also
ἀλλαχοῦ δὲ σαφῶς πάλιν ὁ αὐτός, Ἄλλο, φησίν, ἐστὶν
elsewhere and clearly again the same other he-says is
ἐνέργεια, καὶ ἄλλο ἐνεργητικόν. Ἐνέργεια μὲν γάρ ἐστιν ἡ
working and other (the)-active working indeed for is the

οὐσιώδης τῆς φύσεως κίνησις, ἐνεργητικὸν δὲ ἡ φύσις,
essential of-the nature movement (the)-active and (is)-the nature
ἐξ ἧς ἡ ἐνέργεια πρόεισι. Πολλαχῶς ἄρα τῆς θείας
from which the working proceeds in-many-ways then from-the divine
οὐσίας ἡ ἐνέργεια διαφέρει, κατὰ τοὺς θεοειδεῖς Πατέρας.
essence the working differs according-to the godlike Fathers
Ἡ οὐσία τοῦ Θεοῦ παντάπασίν ἐστιν ἀνώνυμος, ἐπεὶ καὶ 144
the essence — of-God altogether is nameless since also
πάντη ἐστὶν ἀπερινόητος· ὀνομάζεται οὖν ἐκ πασῶν τῶν
wholly it-is inconceivable it-is-named then from all the
οἰκείων ἐνεργειῶν, μηδενὸς ἐκεῖ τῶν ὀνομάτων πρὸς
own workings none there of-the names as-against
ἕτερον κατὰ τὴν σημασίαν διαφέροντος. Ἐξ ἑκάστου
another in the meaning differing from each
γὰρ καὶ πάντων οὐδὲν ἕτερον, ἢ τὸ κρύφιον ἐκεῖνο
for and all nothing other than the hidden that
μηδαμῶς γινωσκόμενον ὅ τί ποτέ ἐστι καλεῖται ἐπὶ
in-no-way known what — ever it-is is-called in
δὲ τῶν ἐνεργειῶν, ἕκαστον τῶν ὀνομάτων διάφορον ἔχει
but the workings each of-the names different has
σημασίαν. Τίς γὰρ οὐκ οἶδεν ὅτι διενηνόχασιν ἀλλήλων
meaning who for not knows that have-differed from-one-another
τὸ κτίζειν, τὸ δεσπόζειν, τὸ κρίνειν, τὸ προνοεῖσθαι, τὸ
the to-create the to-master the to-judge the to-provide the
διὰ τῆς οἰκείας χάριτος τὸν Θεὸν ἡμᾶς υἱοθετεῖν; Οἱ
through the own grace — God us to-adopt the(-ones)
οὖν τὰς φυσικὰς θείας ταύτας ἐνεργείας, ὡς ἀλλήλων
then the natural divine these workings as from-one-another
τε καὶ τῆς θείας φύσεως διαφερούσας λέγοντες κτιστάς,
both and from-the divine nature differing saying created
τί ἄλλο ἢ τὸν Θεὸν εἰς κτίσμα κατασπῶσι; Τὰ γὰρ
what else than — God into (a)-creature drag-down the for

κτιζόμενα, τὰ δεσποζόμενα, τὰ κρινόμενα, καὶ ἁπλῶς πάντα
created(-things) the mastered(-things) the judged(-things) and simply all
τὰ τοιαῦτα, ἔστι τὰ κτίσματα, ἀλλ᾽ οὐχ ὁ Κτίστης, καὶ ὁ
the such(-things) are the creatures but not the Creator and the
Δεσπότης, καὶ κριτής· οὐδ᾽ αὐτὸ τὸ κρίνειν, καὶ δεσπόζειν,
Master and judge nor the-very the to-judge and to-master
καὶ δημιουργεῖν, ἅπερ φυσικῶς ἐνθεωρεῖται τούτῳ.
and to-create which naturally are-contemplated-in him
145 Ἡ οὐσία τοῦ Θεοῦ, καθάπερ ἀνώνυμός ἐστι παντάπασιν, ὡς
the essence — of-God as nameless is altogether as
ὑπερώνυμος κατὰ τοὺς θεολόγους, οὕτως καὶ ἀμέθεκτος
above-name according-to the theologians so also imparticipable
ὡς ὑπὲρ μέθεξιν ὑπάρχει κατ᾽ αὐτούς· οἱ οὖν
as beyond participation it-is according-to them the(-ones) then
ἀπειθοῦντες οὗτοι νῦν τῇ διὰ τῶν ἁγίων ἡμῶν Πατέρων
disobeying these now to-the through the holy our Fathers
τοῦ Πνεύματος διδασκαλίᾳ, καὶ λοιδοροῦντες ἡμᾶς τοὺς
of-the Spirit teaching and reviling us the(-ones)
αὐτοῖς ὁμολογοῦντας, πολλοὺς γίνεσθαί φασι θεούς, ἢ
with-them agreeing many to-come-to-be they-say gods or
σύνθετον τὸν ἕνα, εἴπερ ἡ θεία ἐνέργεια τῆς θείας οὐσίας
compound the one if-indeed the divine working from-the divine essence
διαφέρει, καὶ εἰ ὅλως ἐνθεωρεῖταί τι τῇ τοῦ Θεοῦ οὐσίᾳ.
differs and if at-all is-contemplated anything in-the — of-God essence
Ἀγνοοῦσι γάρ, ὡς οὐχὶ τὸ ἐνεργεῖν καὶ ἡ ἐνέργεια, ἀλλὰ
they-are-ignorant for that not the to-work and the working but
τὸ πάσχειν καὶ πάθος ποιεῖ τὴν σύνθεσιν. Ὁ δὲ Θεὸς ἐνεργεῖ,
the to-suffer and passion makes the composition — but God works
μηδὲν αὐτὸς πάσχων, μηδὲ ἀλλοιούμενος· οὐκ ἄρα σύνθετος
nothing he suffering nor being-altered not then compound
ἔσται διὰ τὴν ἐνέργειαν. Καὶ τὸ πρὸς τί δὲ ὁ
he-will-be because-of the working also the in-relation-to something and —

Θεὸς καὶ πρὸς τὴν κτίσιν ἔχει, ὡς ἀρχὴ καὶ Δεσπότης
